UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## (Politeia Athenaion) Aristotelis Politeia Athenaion

### Aristoteles

### Lipsiae, 1903

[Text]

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2793

Visual Library

I. — — *Μύρωνος καθ' ἱερῶν ὀμόσαντες ἀριστίνδην. καταγνωσθέντος δὲ τοῦ ἄγους, αὐτοὶ μὲν ἐκ τῶν τάφων ἐξεβλήθησαν, τὸ δὲ γένος αὐτῶν ἔφυγεν ἀειφυγίαν. Ἐπιμενίδης δ' ὁ Κρὴς ἐπὶ τούτοις ἐκάθηρε τὴν πόλιν.*

II. *μετὰ δὲ ταῦτα συνέβη στασιάσαι τούς τε γνωρίμους καὶ τὸ πλῆθος πολὺν χρόνον ⟦τὸν δῆμον⟧. ἦν* 2
*γὰρ αὐτῶν ἡ πολιτεία τοῖς τ' ἄλλοις ὀλιγαρχικὴ πᾶσι, καὶ δὴ καὶ ἐδούλευον οἱ πένητες τοῖς πλουσίοις καὶ αὐτοὶ καὶ τὰ τέκνα καὶ αἱ γυναῖκες· καὶ ἐκαλοῦντο πελάται καὶ ἑκτημόριοι· κατὰ ταύτην γὰρ τὴν μίσθωσιν ἠργάζοντο τῶν πλουσίων τοὺς ἀγρούς· ἡ δὲ πᾶσα γῆ δι' ὀλίγων ἦν. καὶ εἰ μ[ὴ] τὰς μισθώσεις ἀποδι-*

---

TESTIM. 11 sq. Phot. *πελάται.* schol. Plat. Euthyphr. p. 327. Poll. 4, 165. Hesych. *ἑκτήμοροι.* Plut. Sol. 13.

---

Lectiones et correctiones sunt editoris principis, nisi quem alium nominavi. 1 cf. Plut. Sol. 12. Supplet S. (Kb.): [*ἐδίκαζον δὲ τριακόσιοι* (*ἄνδρες* add. W.-K.[3]) *κατηγοροῦντος*] *M.*; ante *ἀριστ.* add. ⟨*αἱρεθέντες*⟩ Papageorgiu, *τελείων αἱρ.* W.-K.[3] Cf. Heracl. epit. 4. 2 v. l. (ΚΑ)ΘΑΡΘΕΝ(ΤΟΣ) supra *καταγν.* *αὐτοὶ* (Pantazides, Kirchhoff) W.-K., K.[3] Plut. Mor. 549 A: *τὰς Ἀθήνησι τῶν ἐναγῶν σωμάτων ῥίψεις . . οὐδὲ παίδων παισὶν ἐπιδεῖν ὑπῆρξε τῶν ἀποσφαγέντων ἐκείνων.* Tamen *μετὰ ταῦτα* 2, 1 non ad ipsum *ἄγος* referendum (S.), sed ad expiationem. Neque enim *στάσις*, i. e. seditio armata, per multos annos obtinuisse potest. 7 del. K. (*τὸν δ.* pro *τὸ πλῆθος* reponendum putat Papageorgiu, *ἀλλήλοις* pro *τ. δ.* Sakorr.). pro HN est in pap. H.N; vid. aliquid deletum. 8 *αὐτῶν* Bl. Wn. (W.-K.[3]). *τοῖς τ'* H., Bl., al. 10 maiorem interp. post *γυν.* posuit Kb. 11 -ΜΟΡΟΙ (item Hes. Phot. sch. Pl.) ex Plut., app. *κατὰ* W.-K., K.[3] 12 *ἠργάζοντο* H.-L., et sic charta (Bl.[2], Wn.).

δοῖεν, ἀγώγιμοι καὶ αὐτοὶ καὶ οἱ παῖδες ἐγίγνοντο· καὶ οἱ δανεισμοὶ πᾶσιν ἐπὶ τοῖς σώμασιν ἦσαν μέχρι Σόλωνος· οὗτος δὲ πρῶτος ἐγένετο τοῦ δήμου προ-
3 στάτης. χαλεπώτατον μὲν οὖν καὶ πικρότατον ἦν τοῖς πολλοῖς τῶν κατὰ τὴν πολιτείαν τὸ δουλεύειν· οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τοῖς ἄλλοις ἐδυσχέραινον· οὐδενὸς γὰρ ὡς εἰπεῖν ἐτύγχανον μετέχοντες.

III. ἦν δ' ἡ τάξις τῆς ἀρχαίας πολιτείας τῆς πρὸ Δράκοντος τοιάδε. τὰς μὲν ἀρχὰς καθίστασαν ἀριστίνδην καὶ πλουτίνδην· ἦρχον δὲ τὸ μὲν πρῶτον διὰ
2 βίου, μετὰ δὲ ταῦτα δεκαέτειαν. μέγισται δὲ καὶ πρῶται τῶν ἀρχῶν ἦσαν βασιλε[ὺς καὶ πο]λέμαρχος καὶ [ἄ]ρχων· τούτων δὲ πρώτη μὲν ἡ τοῦ βασιλέως, αὕτη γὰρ ἦν πάτριος, δευτέρα δ' ἐπικατέστη π[ολ]εμαρχία, διὰ τὸ γενέσθαι τινὰς τῶν βασιλέων τὰ πολέμια μαλακούς, ὅθε[ν] καὶ τὸν Ἴωνα μετεπέμψαντο χρείας κατα-
3 λαβούσης. τελευταία δ' ἡ τοῦ ἄρ[χ]οντ[ος· ο]ἱ μὲν γὰρ πλείους ἐπὶ Μέδοντος, ἔνιοι δ' ἐπὶ Ἀκάστου φασὶν γενέσθαι ταύτην· τεκμήριον δ' ἐπιφέρουσιν, ὅτι οἱ ἐννέα ἄρχοντες ὀμνύουσι[ν] ἦ τὰ ἐπὶ Ἀκάστου ὅρκια ποιήσειν, ὡς ἐπὶ τούτου τῆς βασιλείας παραχωρησάν-

---

2 οἱ δανεισμοὶ (Bl.) et. Wn. (W.-K.[3]); οἱ δ. δὲ Sakell. bene, v. app. 5 τὸ δουλεύειν W.-K. 9 τοιάδε (Richards, Condos) W.-K., H.-L. καθίστασαν (Condos) W.-K., H.-L. 10 sq. διὰ βίου W.-K., H.-L. Cf. p. 11, 11. 11 -ЄΤΙΑΝ. 12 βασ[ιλ. τε καὶ] K.[1], del. τε W.-K., H.-L. (app.). 14 πάτριος ἐγένετο H.-L., καὶ π[άτ]ριος [ἦν Bl.[2], ἦν π. postea K. (Wn., W.-K.[3]; ΠΑΤΡΙC exstare Wn. perhibet, non recte sec. K.). 15 γενέσθαι (Lipsius, Condos) W.-K.: ΓΙΝЄCΘΑΙ. πολεμικὰ ego ed. 1; sed v. Kb., Condos Ἀθ. III, 301. IV, 192. 16 ὅθεν καὶ K. recte (Wn., W.-K.[3]). 18 -CI 19 [ταύτην] W.-K., idem (ταυτ̀) postea agn. K., Wn. τεκμήριον (ον per comp.) et ipse in charta agnovi et confirmant K., Wn. 20 ὀμνύουσι[ν] HI τὰ ἐπὶ Wn., quod verum vid. (ἦι); ὀμν. ἦ ⟨μὴν⟩ τὰ ἐπὶ Wil. 20 sq. ποιήσειν agn. Wess., τ̣ὰ̣ ὅ̣ρκια π. K.[3] 21 τού[του τῆς] H.-L., K.[3], agnov. Bl.[2], Wn.

των τῶν Κοδ[ρι]δ[ῶν] ἀντὶ τῶν δοθεισ[ῶν] τῷ ἄρ-
χοντι δωρεῶν. τοῦτο μὲν οὖν ὁποτέρως ποτ' ἔχει,
μικρὸν ἂν παραλλάττοι τοῖς χρόνοις· ὅτι δὲ τελευταία
τούτων ἐγένετο τῶν ἀρχῶν, σημεῖον καὶ [τὸ] μηδὲν
τῶν πατρίων τὸν ἄρχοντα διοικεῖν, ὥσπερ ὁ βασιλεὺς
καὶ ὁ πολέμαρχος, ἀλλ' ἁπλῶ[ς] τὰ ἐπ[ί]θετα· διὸ καὶ
νεωστὶ γέγονεν ἡ ἀρχὴ μεγάλη, τοῖς ἐπιθέτοις αὐξη-
θε[ῖ]σα. θ[εσ]μοθέται δὲ πολλοῖς ὕστερον ἔτεσιν ᾑρέ- 4
θησαν, ἤδη κατ' ἐνιαυτὸν αἱρουμένων τὰς ἀρχάς,
ὅπως ἀναγράψαντες τὰ θέσμια φυλάττωσιν πρὸς τὴν
τῶν ἀμφισβητ[ού]ντων κρίσιν· διὸ καὶ μόνη τῶν ἀρχῶν
οὐκ ἐγένετο πλείων ἐνιαυσίας. τοῖς μὲν οὖν χρόνοις 5
τοσοῦτον προέχουσιν ἀλλήλων. ἦσαν δ' οὐχ ἅμα πάντες
οἱ ἐννέα ἄρχοντες, ἀλλ' ὁ μὲν βασιλεὺς εἶχε τὸ νῦν
καλούμενον Βουκόλιον, πλησίον τοῦ πρυτανείου (ση-
μεῖον δέ· ἔτι καὶ νῦν γὰρ τῆς τοῦ βασιλέως γυναικὸς
ἡ σύμμειξις ἐνταῦθα γίγνεται τῷ Διονύσῳ καὶ ὁ
γάμος), ὁ δὲ ἄρχων τὸ πρυτανεῖον, ὁ δὲ πολέμαρχος
τὸ Ἐπιλύκειον (ὃ πρότερον μὲν ἐκαλεῖτο πολεμαρχεῖον,
ἐπεὶ δὲ Ἐπίλυκος ἀνῳκοδόμησε καὶ κατεσκεύασεν αὐτὸ
πολεμαρ[χ]ήσας, Επιλύκειον ἐκλήθη), θεσμοθέται δ'

---

TESTIM. 14 sqq. cf. Suidas ἄρχων. Bekk. An. 449, 17. 17 Hesych. Διονύσου γάμος. 19 Hesych. Ἐπιλύκ(ε)ιον.

---

1 Κοδ[ρι]δ[ῶν] recte K.; non minus recte idem proxima agnovit. 2 ποτ' (H., Bl.) W.-K., H.-L.; 3 ἂν παραλλάττοι Bl.[2], Wn. 4 sq. τὸ μ. τ. πατρ. (Wyse, Bl.) W.-K., H.-L., K.[3] 6 ἐπίθετα H.-L., ἁπλῶς τὰ Wn., W.-K.[3], sed del. τὰ Wil. 9 αἱρουμ. (Wyse, Condos, Bl., vL., Lipsius) W.-K., H.-L. 10 -ωCΙ. 11 ἀμφισβ. Wn., W.-K.[3] 12 πλείων ἐνιαυσίας (cf. Pl. Leg. VI, 779 D) Bl.[2] (Wn., W.-K.[3]) τῷ Bl.[2], τοῖς postea K. (Wn., W.-K.[3]); itaque et. ΧΡ(όνοις) eidem. 13 ΑΛΛΗΩΝ, corr. (Bl., Jackson) W.-K., H.-L. 15 Βουκολεῖον W.-K. 17 CΥΜΜΙΞΙC. 17 sq. καὶ ὁ γάμος del. Rutherf., Hude.

εἶχον τὸ θεσμοθετεῖον. ἐπὶ δὲ Σόλωνος [ἅπ]αντες εἰς
τὸ θεσμοθετεῖον συνῆλθον. κύριοι δ' ἦσαν καὶ τὰς
δίκας αὐτοτελεῖς [κρίν]ειν, καὶ οὐχ ὥσπερ νῦν προανα-
κρίνειν. τὰ μὲν οὖν περὶ τὰς ἀρχὰς τοῦτον εἶχε τὸν
6 τρόπον. ἡ δὲ τῶν Ἀρεοπαγιτῶν βουλὴ τὴν μὲν τάξιν
εἶχε τοῦ διατηρεῖν τοὺς νόμους, διῴκει δὲ τὰ πλεῖστα
καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει, καὶ κολάζουσα καὶ
ζημιοῦσα πάντας τοὺς ἀκοσμοῦντας κυρίως. ἡ γὰρ
αἵρεσις τῶν ἀρχόντων ἀριστίνδην καὶ πλουτίνδην ἦν,
ἐξ ὧν οἱ Ἀρεοπαγῖται καθίσταντο· διὸ καὶ μόνη τῶν
ἀρχῶν αὕτη μεμένηκε διὰ βίου καὶ νῦν. ἡ μὲν οὖν
πρώτη πολιτεία ταύτην εἶχε τὴν ὑπογραφήν.

IV. μετὰ δὲ ταῦτα χρόνου τινὸς οὐ πολλοῦ διελ-
θόντος, ἐπὶ Ἀρισταίχμου ἄρχοντος, Δράκων τοὺς θε-
σμοὺς ἔθηκεν· ἡ δὲ τάξις ⟦αὐτῆς⟧ τόνδε τὸν τρόπον εἶχεν.
2 ἀπεδέδοτο μὲν ⟦ἡ πολιτεία⟧ τοῖς ὅπλα παρεχομένοις·
ᾑροῦντο δὲ τοὺς μὲν ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας
οὐσίαν κεκτημένους οὐκ ἐλάττω δέκα μνῶν ἐλευθέραν,
τὰς δ' ἄλλας ἀρχὰς ‖ ⟨τὰς⟩ ἐλάττους ἐκ τῶν ὅπλα pag. 2
παρεχομένων, στρατηγοὺς δὲ καὶ ἱππάρχους οὐσίαν
ἀποφαίνοντας οὐκ ἔλαττον ἢ ἑκατὸν μνῶν ἐλευθέραν,
καὶ παῖδας ἐκ γαμετῆς γυναικὸς γνησίους ὑπὲρ δέκα
ἔτη γεγονότας. τούτους δ' ἔδει διεγγυᾶν τοὺς πρυ-

TESTIM. 1 Diog. L. 1, 58 (Kb. p. 125).

3 αὐτοτελεῖς (cf. Suidas) κρ. K. puto μόνον προ. (app.) 7 καὶ ante κολ. del. (Gennad.) H.-L.; cf. c. 8, 4; 45 init. (Papageorg.). 8 ΠΑΝΤΕС superscr. Α (Wn.). γὰρ] δὲ Gennad., Hude. 10 puto ⟨διὰ βίον⟩ καθίστ. (app.). 15 αὐτῆς (K.) certo agnoscitur: αὐτοῦ (Richards) Wn., W.-K.[3], αὕτη K. Cf. app. ЄΙΧЄ. 16 μὲν ex chart. add. W.-K. (K.[3]); ⟦ἡ πολ.⟧ app. 18 ἔλαττον ἢ δέκα W.-K. (διακοσίων pro δέκα Weil, Wilam.; app.). 19 ἀρχὰς in mg. add. m. 2 (Wn.). τὰς add. (Richards, Bl., al.) W.-K., H.-L. 21 -ΘЄΡΩΝ. 22 δέκα] puto ἑπτὰ, app. 23 Δ(Є)ΔΙЄ, superscr. m. 2 ΔЄΙ; δ' ἔδει

*τάνεις καὶ τοὺς στρατηγοὺς καὶ τοὺς ἱππάρχους τοὺς*
*ἕνους μέχρι εὐθυνῶν, ἐγγ[υη]τὰς δ' ἐκ τοῦ αὐτοῦ τέ-*
*λους δεχομένους, οὗπερ οἱ στρατηγοὶ καὶ οἱ ἵππαρχοι.*
*βουλεύειν δὲ τετρακοσίους καὶ ἕνα τοὺς λαχόντας ἐκ* 3
*τῆς πολιτείας. κληροῦσθαι δὲ καὶ ταύτην καὶ τὰς*
*ἄλλας ἀρχὰς τοὺς ὑπὲρ τριάκοντ' ἔτη γεγονότας, καὶ*
*δὶς τὸν αὐτὸν μὴ ἄρχειν πρὸ τοῦ πάντας ἐ[ξ]ελθεῖν·*
*τότε δὲ πάλιν ἐξ ὑπαρχῆς κληροῦν. εἰ δέ τις τῶν*
*βουλευτῶν, ὅταν ἕδρα βουλῆς ἢ ἐκκλησίας ᾖ, ἐκλείποι*
*τὴν σύνοδον, ἀπέτινον ὁ μὲν πεντακοσιομέδιμνος τρεῖς*
*δραχμάς, ὁ δὲ ἱππεὺς δύο, ζευγίτης δὲ μίαν. ἡ* 4
*δὲ βουλὴ ἡ ἐξ Ἀρείου πάγου φύλαξ ἦν τῶν νόμων,*
*καὶ διετήρει τὰς ἀρχάς, ὅπως κατὰ τοὺς νόμους ἄρ-*
*χωσι. ἐξῆν δὲ τῷ ἀδικουμένῳ πρὸ[ς τὴν τῶν] Ἀρεο-*
*παγιτῶν βουλὴν εἰσαγγέλλειν, ἀποφαίνοντι παρ' ὃν*
*ἀδικεῖται νόμον. ἐπὶ δὲ τοῖς σώ[μα]σιν ἦσαν οἱ* 5
*δανεισμοί, καθάπερ εἴρηται, καὶ ἡ χώρα δι' ὀλί-*
*γων ἦν.*

V. *τοιαύτης δὲ τῆς τάξεως οὔσης ἐν τῇ πολιτείᾳ,*
*καὶ τῶν πολλῶν δουλευόντων τοῖς ὀλίγοις, ἀντέστη*
*τοῖς γνωρίμοις ὁ δῆμος. ἰσχυρᾶς δὲ τῆς στάσεως οὔσης*
*καὶ πολὺν χρόνον ἀντικαθημένων ἀλλήλοις, εἵλοντο*
*κοινῇ διαλλακτὴν καὶ ἄρχοντα Σόλωνα, καὶ τὴν πο-* 594
*λιτείαν ἐπέτρεψαν αὐτῷ, ποιήσαντι τὴν ἐλεγείαν ἧς*
*ἐστὶν ἀρχή·*

---

*διεγγυᾶσθαι* K.[3] Sed falsum -*ᾶσθαι*, -AN legitur (Schultess, Fränkel). Est obiectum *τούτους*, subiectum *τοὺς πρυτ. κτἑ.*, cf. Kb. *Ἔδει* om. W.-K. 1 ⟦*τοὺς*⟧ *ἱππ.*? (app.) 1 sq. *τοὺς ἕνους* W.-K., H.-L. 2 *δ'* (*τέτταρας*) *ἐκ* W.-K., H.-L (K.[3]); ΔЄK. 3 *δεχομένους* recte K. rell.; est neque correctum quicquam neque superscr. *οὗπερ* ⟨*εἰσὶν*⟩ Hude. 6 TPIAKONΘЄTH. 7 *ἐξ*]*ελθ.* recte H.-L. (K.[3], Kb.): *δ*[*ι*]*ελθεῖν* Wn., W.-K.[3] ([*διε*]*ξ.*[2]); at non probat K. 9 *ἐκλίποι* H.-L. 11 *ὁ* ante *ζευγ.* add. W.-K., H.-L. 14 -ωCIN. 17 *δανεισμοὶ* Bl.[2] (Wn., W.-K.[3]). Cf. p. 9, 2.

*γιγνώσκω, καί μοι φρενὸς ἔνδοθεν ἄλγεα κεῖται,*
*πρεσβυτάτην ἐσορῶν γαῖαν Ἰαονίας*
*καινομένην·*

*ἐν ᾗ πρὸς ἑκατέρους ὑπὲρ ἑκατέρων μάχεται καὶ δι-*
*αμφισβητεῖ, καὶ μετὰ ταῦτα κοινῇ παραινεῖ καταπαύειν*
3 *τὴν ἐνεστῶσαν φιλονικίαν. ἦν δ' ὁ Σόλων τῇ μὲν*
*[φύ]σει καὶ τῇ δόξῃ τῶν πρώτων, τῇ δ' οὐσίᾳ καὶ*
*τοῖς πράγμασι τῶν μέσων, ὡς ἔκ τε τῶν ἄλλων ὁμο-*
*λογεῖται, καὶ αὐτὸς ἐν τοῖσδε τοῖς ποιήμασιν μαρτυρεῖ,*
*παραινῶν τοῖς πλουσίοις μὴ πλεονεκτεῖν·*

*ὑμεῖς δ' ἡσυχάσαντες ἐνὶ φρεσὶ καρτερὸν ἦτορ,*
*οἳ πολλῶν ἀγαθῶν εἰς κόρον [ἠ]λάσατε,*
*ἐν μετρίοισι τίθεσθε μέγαν νόον· οὔτε γὰρ ἡμεῖς*
*πεισόμεθ', οὔθ' ὑμῖν ἄρτια τα[ῦτ'] ἔσεται.*

*καὶ ὅλως αἰεὶ τὴν αἰτίαν τῆς στάσεως ἀνάπτει τοῖς πλουσίοις· διὸ καὶ ἐν ἀρχῇ τῆς ἐλεγείας δεδοικέναι φησὶ 'τήν τε φ[ιλαργυρ]ίαν τήν τε ὑπερηφανίαν', ὡς διὰ ταῦτα τῆς ἔχθρας ἐνεστώσης.*

---

2 *ἐσορῶντ' αἶαν* Naber, Hude; adversatur Kb. 3 legi *καινομένην* (cum spat. vacuo, quod et. post *ἀρχή* et *Ἰαονίας* est; it. ubique et ante et post carmina), tum *ἐν ἡι*. It. *καινομ.* in ectypo legerat Diels, qui in charta *καρφομένην* agnoscere sibi visus est; improbat hoc, confirmat *καιν.* K.; *κλινομένην* Wn., W.-K.[3] (dubitat K., sed A magis agn. quam Λ). Cf. app. 6 ΦΙΛΟΤΙΜΙΑΝ superscr. ΝΙΚΙ. 7 *φύσει* (Richards, Bl., al., coll. c. 18, 4) W.-K., H.-L., K.[3] 12 ЄΙC corr., ЄC pr. (*ἐς* K., H.-L., W.-K.). Cf. p. 23, 1. *ἠλάσατε* Postgate, W.-K., H.-L. 13 *τ[ρέφεσθ]ε* K., W.-K.; *τίθεσθε* (Platt) H.-L., Wn., W.-K.[3] 14 *ἄρτια*] cf. Sol. 4, 33. 40, Theogn. 154 (infra c. 12, 2). 946; *ἄρκια* Condos. *τα[ῦτ']* (Condos) H.-L., K.[3], Wn., *πά[ντ]'* W.-K. 17 *τήν τε φ[ιλαργυρ]ίαν* K. (et. nunc contra Wn.) rell.; *φι[λαργ]υρειαν* in charta invenit Diels; ΦC . . . ЄΙΑΝ Wn., negans fuisse Ρ ante ЄΙΑΝ (tamen *φι[λαργ]υρίαν* et W.-K.[3]); *φ[ιλοπλου]τίαν* ipse ed.[3] Versum Solonis agnoverunt Jackson al.; Plut. Sol. 14, § 3 compar. John Mayor: *ὀκνῶν φησι τὸ πρῶτον ἅψασθαι τῆς πολιτείας, καὶ δεδοικὼς τῶν μὲν τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν*

VI. *κύριος δὲ γενόμενος τῶν πραγμά[τω]ν Σόλων τόν τε δῆμον ἠλευθέρωσε, καὶ ἐν τῷ παρόντι καὶ εἰς τὸ μέλλον, κωλύσας δ[ανε]ίζειν ἐπὶ τοῖς σώμασι, καὶ νόμους ἔθηκεν, καὶ χρεῶν ἀποκοπὰς ἐποίησε, καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων, ἃς σεισάχθεια καλοῦσιν, ὡς ἀποσεισάμενοι τὸ βάρος. ἐν οἷς πειρῶνταί τιν[ες] διαβάλλειν αὐτόν· συνέβη γὰρ τῷ Σόλωνι μέλλοντι* 2 *ποιεῖν τὴν σεισάχθειαν προειπεῖν τισι τῶν [γν]ωρίμων, ἔπειθ' ὡς μὲν οἱ δημοτικοὶ λέγουσι, παραστρατηγηθῆναι διὰ τῶν φίλων, ὡς δ' οἱ β[ουλ]όμενοι βλασφημεῖν, καὶ αὐτὸν κοινωνεῖν. δανεισάμενοι γὰρ οὗτοι συνεπρίαντο πολλὴν χώραν, καὶ μετ' οὐ πολὺ τῆς τῶν χρεῶν ἀποκοπῆς γεγενημένης ἐπλούτουν· ὅθεν φασὶ γενέσθαι τοὺς ὕστερον δοκοῦντας εἶναι παλαιοπλούτους. οὐ μὴν ἀλλὰ πιθ[ανώ]τερος ὁ τῶν δημοτικῶν* 3 *λόγος· οὐ γὰρ ε[ἰκ]ὸς ἐν μὲν τοῖς ἄλλοις οὕτω μέτριον γενέσθαι καὶ κοινόν, [ὥ]στ' ἐξὸν αὐτῷ τοὺς [ἑτ]έρους ὑποποιησάμενον τυραννεῖν τῆς πόλεως ἀμφοτέροις ἀπεχ[θ]έσθαι, καὶ περὶ πλείονος ποιήσασθαι τὸ καλὸν καὶ τὴν τῆς πόλεως σωτηρίαν ἢ τὴν ἑαυτοῦ πλεονεξίαν,*

---

TESTIM. 5 Hesych. *σεισάχθεια· Σόλων χρεῶν ἀποκοπὴν δημοσίων καὶ ἰδιωτικῶν ἐνομοθέτησεν, ἥνπερ σεισάχθειαν ἐκάλεσε παρὰ τὸ ἀποσείσασθαι τὸ βάρος τῶν δανείων.* Phot. s. v.

---

(hinc *φ[ιλοχρηματ]ίαν* Condos, Bernardakis, Radinger, adv. spatium). Cf. app. 3 -CIN. 3 sq. *καὶ ν. ἔθ.* (ЄΘΗΚΕ) del. W.-K. Cf. app. 5 ΑCЄΙCΑΧΘΙΑ pr., Ϲ post Α supra v.; *-άχθειαν* K.; sed *ἃ σεισάχθεια* Wilam., W.-K.[3], coll. Plut. Sol. 16; app. 6 *ἀποσεισαμένων* Jos. Mayor (*-νοι* def. Gomp.). *τινες* (Wyse, Lipsius, Niemeyer, al.) W.-K., H.-L., K.[3] 10 *βουλόμ.* (Wyse, Bl., al.) W.-K., H.-L., K.[3] 12 *καὶ μετ' οὐ* (Condos, Bernardakis) Wessely, Bl.[2] (*[καὶ με]τ'*), Wn., W.-K.[3]. 13 ΓΙΝΟΜ. (*γενομ.* Rutherf., W.-K., H.-L., K.[3]); app. 17 *ὥστ'* (Jackson, Richards, Bl., Lips., Papabas.) W.-K., H.-L., K.[3] *ἑτέρους* (Bl., Condos) H.-L.; confirmant ex charta et. Haussoullier, Wn. (W.-K.[3]). Cf. Polit. 1303 b 24. 19 *ἀπεχθέσθαι* John Mayor. 20 ΑΥΤΟΥ.

ἐν οὕτω δὲ μικροῖς καὶ ἀνα[ξίο]ις ῥυπαίνειν ἑαυτόν.
4 ὅτι δὲ ταύτην ἔσχε τὴν ἐξουσίαν, τά τε πράγματα νοσοῦντα μαρτυρεῖ, καὶ ἐν τοῖς ποιήμασιν αὐτὸς πολλαχοῦ μέμνηται, καὶ οἱ ἄλλοι συνομολογοῦσι πάντες. ταύτην μὲν οὖν χρὴ νομίζειν ψευδῆ τὴν αἰτίαν εἶναι.

VII. πολιτείαν δὲ κατέστησεν καὶ νόμους ἔθηκεν ἄλλους, τοῖς δὲ Δράκοντος θεσμοῖς ἐπαύσαντο χρώμενοι πλὴν τῶν φονικῶν. ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις, ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείῳ, καὶ ὤμοσαν χρήσεσθαι πάντες. οἱ δ' ἐννέα ἄρχοντες ὀμνύντες πρὸς τῷ λίθῳ κατεφάτιζον, ἀναθήσειν ἀνδριάντα χρυσοῦν ἐάν τινα παραβῶσι τῶν νόμων· ὅθεν
2 ἔτι καὶ νῦν οὕτως ὀμνύουσι. κατέκλῃσε δὲ τοὺς νόμους εἰς ἑκατὸν ἔτη, καὶ διέταξε τὴν πολιτείαν τόνδε
3 ⟨τὸν⟩ τρόπον. τιμήματι διεῖλεν εἰς τέτταρα τέλη, καθάπερ διῄρητο καὶ πρότερον, εἰς πεντακοσιομ[έδιμ]ν[ο]ν καὶ ἱπ[πέα] καὶ ζευγίτην καὶ θῆτα. καὶ τὰς μὲν ἀρχὰς

---

TESTIM. 9 *Harpocr. κύρβεις. *schol. Aristoph. Av. 1354. *Plut. Sol. 25. 10 Plut. Sol. 25. 16 *Harpocr. ἱππάς et πεντακοσιομέδιμνον. Hes. ἐκ τιμημάτων. ζευγίσιον. θητικόν. Harpocr. θῆτες. Phot. et Suid. θῆτες.

---

1 ΡΥΠΑΙΝ, ΚΑΤΑ s. v., καταρρ. K. rell.; app. 3 μαρτυρεῖ W.-K.[3]: charta pr. μαρτυρουσιτο sec. Wn. (-ουσιτο post eum K.; esse duabus litt. inter ου et το spatium; του non fuisse); superscr. ει super ου (μαρτυρεῖ τοῦτο pridem ci. W.-K., Sd.). 6 -CЄ. 8 sq. app. 13 κατεκλῃισεν Bl.[2], Wn., W.-K.[3] (ισεν iam Wess. agn.). Cf. Dem. 4, 33, Rehd. Ind. II κατά sub fin. 15 ⟨τὸν⟩ τρόπον Bl., al. spatium est ante τιμήμ. uni litt. sufficiens, sed nihil ibi scr. fuit; τιμήματι recte Wess.; τιμήματα K., ⟨τὰ⟩ τιμ. Bl., Gennad., H.-L., ⟨κατὰ⟩ τιμ. Papageorg., κατὰ τὰ τιμ. Wil. I, 48; plura suppl. Gomp., W.-K.[3] in adn., Keil, coll. Hes. Harp.
17 post θῆτα agnovi spat. vacuum aptum voci καί, quam ipsam agn. Wn. (W.-K.[3]). μὲ[ν οὖ]ν K. rell.; est interstitium inter ΜЄ et Ν, sed vid. ut alias spat. vacuum relictum esse propter chartam male laesam; ante Ν est ductus ad Є pertinens colligansque litteras (ci. μὲν Papageorg.). Sec. Wn. ΜЄ.... ΑC ἀρχὰς (ante ΑC vel Λ vel Τ vel C); inde ἄλλας, πολλὰς, οὔσας

pag. 3 *ἀπένειμε ‖ ἄρχειν ἐκ πεντακοσιομεδίμνων καὶ ἱππέων καὶ ζευγιτῶν, τοὺς ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας καὶ τοὺς πωλητὰς καὶ τοὺς ἕνδεκα καὶ τοὺς κωλακρέτας, ἑκάστοις ἀνὰ λόγον τῷ μεγέθει τοῦ τιμήματος ἀποδιδοὺς τὴν ἀρχήν· τοῖς δὲ τὸ θητικὸν τελοῦσιν ἐκκλησίας καὶ δικαστηρίων μετέδωκε μόνον. ἔδει δὲ* 4
*τελεῖν πεντακοσιομέδιμνον μέν, ὃς ἂν ἐκ τῆς οἰκείας ποιῇ πεντακόσια μέτρα τὰ συνάμφω ξηρὰ καὶ ὑγρά, ἱππάδα δὲ τοὺς τριακόσια ποιοῦντας, ὡς δ' ἔνιοί φασι τοὺς ἱπποτροφεῖν δυναμένους. σημεῖον δὲ φέρουσι τό τε ὄνομα τοῦ τέλους, ὡς ἂν ἀπὸ τοῦ πράγματος κείμενον, καὶ τὰ ἀναθήματα τῶν ἀρχαίων· ἀνάκειται γὰρ ἐν ἀκροπόλει εἰκὼν* ⟦*Διφίλου*⟧, *ἐφ' ᾗ ἐπιγέγραπται τάδε·*

*Διφίλου Ἀνθεμίων τήνδ' ἀνέθηκε θεοῖς,*
*θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος.*

*καὶ παρέστηκεν ἵππος εἰς μαρτύριον, ὡς τὴν ἱππάδα τοῦτο σημαίνουσαν. οὐ μὴν ἀλλ' εὐλογώτερον τοῖς μέτροις διῃρῆσθαι, καθάπερ τοὺς πεντακοσιομεδίμνους. ζευγίσιον δὲ τελεῖν τοὺς διακόσια τὰ συνάμφω ποιοῦντας· τοὺς δ' ἄλλους θητικόν, οὐδεμιᾶς μετέχοντας ἀρχῆς. διὸ καὶ νῦν ἐπειδὰν ἔρηται τὸν μέλλοντα κληροῦσθαί τιν' ἀρχήν, ποῖον τέλος τελεῖ, οὐδ' ἂν εἷς εἴποι θητικόν.*

---

TESTIM. § 4 Poll. VIII, 130—131. 21 *Harpocr. *θῆτες.*

---

ci. Wil. Ipse cum post Wn. chartam inspexissem, falsa specie litterarum illum deceptum esse putavi. 1 -ΜΕΝ. 7 *τῆς*] *γῆς* Bywater. 8 *ξηρῶν καὶ ὑγρῶν* (H.) H.-L. 9 ΙΠΠΑCΙΑ pr. sec. Wn. 10 ⟨*ἐπι*⟩*φέρουσι* (H.) H.-L. 11 sq. *ὡς ἂν . . κείμ.* del. H.-L., propter *ὡς ἂν.* 13 *Διφίλου* del. (Thompson, Radinger) W.-K. (app.). 17 ΕΚΜΑΡΤΥΡΩ͂Ν charta (correctum Τ); *ἐπιμαρτυρῶν* H.-L. V. (contra Kb.) Lit. Centralbl. 1893, 1712; app. Del. nunc *ἐκμαρτ.* Wil. 19 ΜΕΤΡΙΟΙC. 20 ⟨*ἔδει*⟩ *τελεῖν* (Condos) H.-L.

VIII. τὰς δ' ἀρχὰς ἐποίησε κληρωτὰς ἐκ προκρίτων,
οὓς ἑκά[σ]τη προκρίνειεν τῶν φυλῶν. προύκρινεν δ'
εἰς τοὺς ἐννέα ἄρχοντας ἑκάστη δέκα, καὶ τοὺς ἐννέα
ἐκλήρουν· ὅθεν ἔτι διαμένει ταῖς φυλαῖς τὸ δέκα
κληροῦν ἑκάστην, εἶτ' ἐκ τούτων κυαμεύειν. σημεῖον
δ' ὅτι κληρωτὰς ἐποίησεν ἐκ τῶν τιμημάτων ὁ περὶ
τῶν ταμιῶν νόμος, ᾧ χρώμενοι διατελοῦσι ἔτι καὶ
νῦν· κελεύει γὰρ κληροῦν τοὺς ταμίας ἐκ πεντακοσιο-
2 μεδίμνω[ν. Σόλ]ων μὲν οὖν οὕτως ἐνομοθέτησεν περὶ
τῶν ἐννέα ἀρχόντων· τὸ γὰρ ἀρχαῖον ἡ ἐν Ἀρείῳ [πάγῳ
βου]λή, ἀνακαλεσαμένη καὶ κρίνασα καθ' αὑτήν, τὸν
ἐπιτήδειον ἐφ' ἑκάστῃ τῶν ἀρχῶν ἐπ' [ἐν]ιαυτὸν [δια-
3 τάξα]σα ἀπέστελλεν. φυλαὶ δ' ἦσαν δ' καθάπερ πρό-
τερον, καὶ φυλοβασιλεῖς τέτταρες. [ἐκ] δὲ τῆς φυλῆς
ἑκάστης ἦσαν νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκρα-

---

TESTIM. 15 *Phot. *ναυκραρία*. Poll. VIII 108. Hes. *ναύκλαροι*.

---

1 ΤΗCΔΑΡΧΗC, corr. K. 2 *προκρίνειε* (Gertz) W.-K.: ΠΡΟΚΡΙΝЄΙ (*προύκρινε* Bl., H.-L.). 3 *καὶ τού[τους ἐκλ.* K.[1], *καὶ ἐκ τούτων* ci. W.-K. (*κἀκ* Gomperz), quod olim recepi; *καὶ τού-[τοις] ἐ[πεκ]λ.* K.[3], esse dicens spatium uni litt. inter Υ et Є, sed superscriptum aliquid esse (fort. pr. *τους*, corr. *τουτοις*). Superscripta legere non potui, neque certo agnoscere *ε* in media lacuna. *Καὶ* (⟨*ἐκ τούτων*⟩ add. Kb.) *τοὺς θ'* Wn., W.-K.[3]; sed vehementer dubitat K., qui ne spatium quidem expleri dicit. V. app. 6 *ἐποίησεν* (Hude) H.-L., W.-K.: -CAN. 7 -CIN. 9 sq. *περὶ τῶν ἐ. ἀρχ.* del. Wil. (I, 49); v. tamen app. 10 *γὰρ*] *δὲ* H.-L., (Wn.) W.-K.[3]; sed K. nihilominus *γὰρ* verius putat, item ego charta denuo inspecta. 12 *ἑκάστην* (H.) H.-L. *ἐπ' ἐνιαυτὸν* K. recte (*ον* per comp.); tum 12 sq. *διατάξασα* id. (apparere vid. ductus, quo iuncto cum Δ *διά* notatur; fort. et. ξ; Diels tamen nihil legit praeter *σα*), [*καθιστᾶ*]*σα* antea W.-K., [*κ(ατα)στήσα*]*σα* Diels; sed \\ . . . . ΤΑ Wn., unde *ἄρξοντα* Kb., W.-K.[3] (C pro Τ nihilominus praefert K.). V. app. 14 ΤЄCCΑΡЄC. 14 sq. *τῆς φυλῆς ἑκ.* nunc fere agn. K., quare dempsi cancellos. 15 sq. ΝΑΥΚΡΑΙΡΑΙ.

*ρίαι δὲ δώδεκα καθ' ἑκάστην, [ἐπὶ] δὲ [τῶν] ναυκρα-
ριῶν ἀρχὴ καθεστηκυῖα ναύκραροι, τεταγμένη πρός τε
τὰς εἰσφορὰς καὶ τὰς δαπ[άνας] τὰς γιγνομένας· διὸ
καὶ ἐν τοῖς νόμοις τοῖς Σόλωνος οἷς οὐκέτι χρῶνται
πολλαχο[ῦ γέ]γραπται, 'τοὺς ναυκράρους εἰσπράττειν',
καὶ 'ἀναλίσκειν ἐκ τοῦ ναυκραρικοῦ ἀργυρ[ίο]ν'. β[ου]-* 4
*λὴν δ' ἐποίησε τετρακοσίους, ἑκατὸν ἐξ ἑκάστης ⟨τῆς⟩
φυλῆς, τὴν δὲ τῶν Ἀρεοπαγιτῶν ἔταξεν ἐπὶ [τὸ] νομο-
φυλακεῖν, ὥσπερ ὑπῆρχεν καὶ πρότερον ἐπίσκοπος οὖσα
τῆς πολιτείας, [ἣ] τά τε ἄλλα τὰ πλεῖστα καὶ τὰ μέγιστα
τῶν πολιτ⟨ικ⟩ῶν διετήρει, καὶ τοὺς ἁμαρτάνοντας
ηὔθυνεν κυρία οὖσα καὶ [ζη]μι[οῦν] καὶ κολάζειν, καὶ
τὰς ἐκτίσεις ἀνέφερεν εἰς πόλιν, οὐκ ἐπιγράφουσα τὴν
πρόφασιν [τοῦ ἐκ]τ[ίν]εσθαι, καὶ τοὺς ἐπὶ καταλύσει τοῦ
δήμου συνισταμένους ἔκρινεν, Σόλωνος θέντ[ος] νόμον
εἰσα[γγ]ελ[ία]ς περὶ αὐτῶν. ὁρῶν δὲ τὴν μὲν πόλιν* 5
*πολλάκις στασιάζουσαν, τῶν δὲ πολιτῶν ἐνίους διὰ τὴν
ῥᾳθυμίαν [ἀγα]πῶντας τὸ αὐτόματον, νόμον ἔθηκε*

---

TESTIM. § 5 *Gellius II 12.

---

1 [ἐπὶ] δὲ (compend.) [τῶν] (it.) Bl.²: [ἦν δ' ἐπὶ τῶν] W.-K., H.-L., agn. Wn., sed non probat K. 2 ΝΑΥΚΡΑΙΡΟΙ. 5 πολλαχοῦ (Wessely) K.³ (-όθι Paton, H.-L.). 8 ἐπὶ τὸ (Paton, Gennad.) W.-K., H.-L., K³. 10 καὶ τά τε W.-K. (agn. Wn.), sed angustius spat. καὶ voci, unde ἣ praestat. 11 πολιτ⟨ικ⟩ῶν (Richards, Lips.) W.-K., H.-L., K.³ 12 καὶ ζημ. (Bl.) H.-L., K.³, Wn. (W.-K.³); [τοῦ] ζ. K., W.-K.². Cf. c. 3, 6. 13 ЄΚΤΙCЄΙC (ἐκτἴσεις ut τἴσις) iam non sollicitavi, cum εκτισιν sit in charta Flinders-Petrie II, p. 150 b (it. Grenfell-Hunt II, 50, a. 103 a. Chr., sed ἔκτεισιν ibd. 35, a. 127 a. Chr.). 14 τοῦ εὐθύν]ε-σθαι (Bl.) H.-L., K.³; διὰ τὸ [εὐ]θύ[ν]εσθαι Wn., W.-K.³ (sed del. haec Wil.), quae non agn. K.; [τοῦ ἐ]κτ[ίν]εσθαι (Tyrrell) ipse agn. mihi visus sum. 15 θ. νόμον W.-K., K.³; tum εἰσα[γγ]ελ[ίας] (Wessely) K.³, Wn. (-[ία]ς) W.-K.³, sed del. Wil.). Cf. S.; εἰσαγγελτικὸν (ον per comp.) ci. Papageorg.; εἰσ-λίαν εἶναι coll. Dem. 49, 67 Sakell. 17 ΠΟΛΛΑΚΙCΤΑC (Wn.). 18 ἀγαπῶντας W.-K., certum est ωντας, π verisimile magis quam ρ (περιορῶντας Bury, ego antea). -ΚΕΝ (ita Wess.).

πρὸς αὐτοὺς ἴδιον, ὃς ἂν στασιαζούσης τῆς πόλεως μ[ὴ] θῆται τὰ ὅπλα μηδὲ μεθ' ἑτέρων, ἄτιμον εἶναι καὶ τῆς πόλεως μὴ μετέχειν.

IX. τὰ μὲν οὖν [περὶ τὰ]ς ἀρχὰς τ[οῦ]τον εἶχε τὸν τρόπον. δοκεῖ δὲ τῆς Σόλωνος πολιτείας τρία ⟦ταῦτ'⟧ εἶναι τὰ δημοτικώτατα· πρῶτον μὲν καὶ μέγιστον τὸ μὴ δανείζειν ἐπὶ τοῖς σώμασιν, ἔπειτα τὸ ἐξεῖναι τῷ βουλομένῳ τιμω[ρεῖ]ν ὑπὲρ τῶν ἀδικουμένων, τρίτον δ' ⟨ᾧ⟩ μάλιστά φασιν ἰσχυκέναι τὸ πλῆθος, ἡ εἰς τὸ δικα[στήριον] ἔφεσις· κύριος γὰρ ὢν ὁ δῆμος τῆς
2 ψήφου, κύριος γίγνεται τῆς πολιτείας. ἔτι δὲ καὶ διὰ τὸ μὴ γεγράφθαι τοὺς νόμους ἁπλῶς μηδὲ σαφῶς, ἀλλ' ὥσπερ ὁ περὶ τῶν κλήρων καὶ ἐπικλήρων, ἀνάγκη [πο]λλὰς ἀμφισβητήσεις γίγνεσθαι, καὶ πάντα βραβεύειν καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τὸ δικαστήριον. οἴονται μὲν οὖν τινες ἐπίτηδες ἀσαφεῖς αὐτὸν ποιῆσαι τοὺς νόμους, ὅπως ᾖ τῆς κρίσεω[ς ὁ] δῆ[μος κύ]ριος. οὐ μὴν εἰκός, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι καθόλου περιλαβεῖν τὸ βέλτιστον· οὐ γὰρ [δ]ίκ[αιον] ἐκ τῶν νῦν γιγνομένων, ἀλλ' ἐκ τῆς ἄλλης πολιτείας θεωρεῖν τὴν ἐκείνου βούλησιν.

X. ἐν μὲν οὖν τοῖς νόμοις ταῦτα δοκεῖ θεῖναι δημοτικά, πρὸ δὲ τῆς νομοθεσίας ποιήσας καὶ τὴν τῶν χ[ρ]εῶν [ἀπο]κοπήν, καὶ μετὰ ταῦτα τήν τε τῶν μέτρων
2 καὶ σταθμῶν καὶ τὴν τοῦ νομίσματος αὔξησιν. ἐπ' ἐκείνου γὰρ ἐγένετο καὶ τὰ μέτρα μείζω τῶν Φειδω-

2 θῆται H.-L., K.[3], W.-K.[3] 4 εἶχε K.[3] 6 ταῦτ'] τάδ' e coni. (H.) H.-L., W.K.[2] (non[3]); app. τὰ del. H.-L. 8 τιμωρεῖν (Paton) W.-K., K.[3] 9 ᾖ add. K.[1], ᾧ (Lipsius, L.) H.-L., K.[3], ᾧ καὶ W.-L. 13 ἀν. πολλὰς (Bl., qui π. τὰς, al.) W.-K., K.[3] 15 τὸ δικαστήριον W.-K., K.[3] 17 ita recte (Papageorg.) K.[3] 18 cf. Plat. Pol. 294 B 23 ποιήσας (Diels) καὶ (superscr.) W., W.-K.[3], qui del. καὶ: ποιῆσαι (Condos) τὴν τῶν H.-L., K.[3] Cf. Androtion ap. Plut. Sol. 15; app.

νείων, καὶ ἡ μνᾶ πρότερον ἔχ[ο]υσα [σ]ταθμὸν ἑβδο- pag. 4 μήκοντα δραχμάς, ἀνεπληρώθη ταῖς *τριάκοντα. ‖ ἦν δ' ὁ ἀρχαῖος χαρακτὴρ δίδραχμον. ἐποίησε δὲ καὶ σταθμὰ πρὸς τὸ νόμισμα, τ[ρ]εῖς καὶ ἑξήκοντα μνᾶς τὸ τάλαντον ἀγούσας, καὶ ἐπιδιενεμήθησαν [αἱ τ]ρεῖς μναῖ τῷ στατῆρι καὶ τοῖς ἄλλοις σταθμοῖς.

XI. διατάξας δὲ τὴν πολιτείαν ὅνπερ εἴρηται τρόπον, ἐπειδὴ προσιόντες αὐτῷ περὶ τῶν νόμων ἐνώχλουν, τὰ μὲν ἐπιτιμῶντες τὰ δὲ ἀνακρίνοντες, βουλόμενος μήτε ταῦτα κινεῖν, μήτ' ἀπεχθάνεσθαι παρών, ἀποδημίαν ἐποιήσατο κατ' ἐμπορίαν ἅμα καὶ θεωρίαν εἰς Αἴγυπτον, ε[ἰπ]ὼν ὡς οὐχ [ἥ]ξει δέκα ἐτῶν· οὐ γὰρ οἴεσθαι δίκαιον εἶναι τοὺς νόμους ἐξηγεῖσθαι παρών, ἀλλ' ἕκαστον τὰ γεγραμμένα ποιεῖν. ἅμα δὲ 2
καὶ συνέβαινεν αὐτῷ τῶν τε γνωρίμων διαφόρους γεγενῆσθαι πολλούς, διὰ τὰς τῶν χρεῶν ἀποκοπάς, καὶ τὰς στάσεις ἀμφοτέρας μεταθέσθαι, διὰ τὸ παράδοξον αὐτοῖς γενέσθαι τὴν κατάστασιν. ὁ μὲν γὰρ δῆμος ᾤετο πάντ' ἀνάδαστα ποιήσειν αὐτόν, οἱ δὲ γνώριμοι πάλιν ἢ τὴν αὐτὴν τάξιν ἀποδώσειν, ἢ μ[ικ]ρ[ὸ]ν

---

1 [ἕλκ]ουσα (Wyse) W.-K.[1.2], H.-L., K.[3]; ἔχ. Wn., W.-K.[3] Tum [σ]τα[θ]μὸν Diels, quod confirmant K., Wn. (Bl.[2], W.-K.[3]). 2 ЄΚΑΤΟΝ (app.). 3 χαρακτὴρ διδράχμου ⟨βοῦς⟩ Wyse coll. Poll. IX, 60; χ. ⟨βοῦς καὶ τὸ νόμισμα⟩ δίδρ. JBMayor, χ. διδράχμου Keil. Sed nihil, quod ad res attinet, in his omnibus vitii esse demonstravit maxime G. F. Hill, Numism. Chronicle, 3d Ser., vol. XVII, p. 284 sqq. σταθμὰ recte W.-K., K.[3] (⟨τὰ⟩ στ. Keil). 4 ὀγδοήκοντα pro ἑξήκ. Gertz, Köhler; v. ad 5. 5 ἄγον H., Papabasil. [αἱ τ]ρεῖς sec. K. Lehmann, Diels, Wn. (ipse αἱ γ̄ proposueram). 8 sq. ἠνώχλουν contra chart. H.-L., K.[3] 12 recte, quod et ipse et Wessely videramus, L. in praef. H.-L. p. X ΝΩϹΟΥ, [λέγω]ν ὡς οὐ[χ ἥξ]ει. Sed εἰπὼν (Bl., Wessely) melius reliquiis litterarum convenit. 13 δίκαιος Jackson, H,-L.; def. -ον S. 14 ποιεῖν W.-K. 17 ita Wn. 18 Ι (ita Wn.) . ϹΑΝΤΑΞΙΝ pr., κατάστασιν corr. (W.-K., K.[3]), [οὖ]σαν [κατά]στ. K.[1], οὖσαν τάξιν H.-L. 20 ἢ W.-K.[2]: ЄΙϹ (quod del. W.-K.[1.3]). Tum ἢ σ[μικρὸν] παραλλάξ[ειν]· ὁ δὲ (Bl.) W.-L.[1.2], K.[3]; it.

παραλλάξ[αντα· ὁ δὲ] ἀμφοτέροις ἠναντιώθη, καὶ ἐξὸν αὐτῷ μεθ' ὁποτέρων ἠβούλετο συστά[ντ]α τυραννεῖν, εἵλετο πρὸς ἀμφοτέρους ἀπεχθέσθαι σώσας τὴν πατρίδα καὶ τὰ βέ[λτι]στα νομοθετήσας.

XII. ταῦτα δ' ὅτι τοῦτον ⟨τὸν⟩ τρόπον ἔσχε οἵ τ' ἄλλοι συμφωνοῦσιν πάντες, καὶ αὐτὸς ἐν τῇ ποιήσει μέμνηται περὶ αὐτῶν ἐν τοῖσδε (fr. 5 B.)·

δήμῳ μὲν γὰρ ἔδωκα τόσον γέρας, ὅσσον ἀπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

2 πάλιν δ' ἀποφαινόμενος περὶ τοῦ πλήθους, ὡς αὐτῷ δεῖ χρῆσθαι (Sol. fr. 6, cf. Theogn. 153)·

δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίαν ἀνεθεὶς μήτε βιαζόμενος.
τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται
ἀνθρώποισιν ὅσοις μὴ νόος ἄρτιος ᾖ.

3 καὶ πάλιν δ' ἑτέρωθί που λέγει περὶ τῶν διανείμασθαι τὴν γῆν βουλομένων (cf. fr. 34. 35)·

---

TESTIM. 1 Aristid. II, 360 Dd. 8 Plut. Sol. 18. 16 Plut. comp. Sol. et Popl. 2.

---

(sed μ[ικρὸν]) H.-L.; sed Σόλων agn. sibi visus est Wn., ⟨ὁ δὲ⟩ (superscr. haec fuisse videri) Σ. W.-K.[3] (app.). 2 ἐβούλ. contra chart. H.-L., K.[3] συστά[ντ]α pro -[ντι Bl.[2], W.-K.[3] 3 ΑΠΕΧΘΕϹΘΗΝΑΙ corr. (Wyse, H.) W.-K., H.-L., K.[3] 5 τὸν add. K. -ΧΕΝ (εἶχεν W.-K. e coni.). 6 -CI. 8 ΔΗΜΟΙ. τόσον κράτος Plut. ἐπαρκεῖ Plut. (ἀπαρκεῖ Coraes, ἐπαρκεῖν Brunck); ἀπαρκεῖν H.-L. 9 sq. ΟΥΤΑΠΟΡΕΞΑΜΕΝΟϹΟϹΟΙ. 17 πιεζόμενος Plut. 19 ἀνθρώπῳ καὶ ὅτῳ Theogn., ἀνθρώποισιν ὅτῳ Hartung, ἀ. ὅτοις bene Hude. 20 καὶ del. W.-K.; ego δὲ delerim. ἑτέρωθι (Hicks, al.) W.-K. διανέμεσθαι non recte H.-L.

*οἳ δ' ἐφ' ἁρπαγαῖσιν ἦλθον, ἐλπίδ' εἶχον ἀφνεάν,*
*κἀδόκουν ἕκαστος αὐτῶν ὄλβον εὑρήσειν πολύν,*
*καί με κωτίλλοντα λείως τραχὺν ἐκφανεῖν νόον.*
*χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι*
*λοξ[ὸν ὀ]φθαλμοῖσ' ὁρῶσι πάντες ὥστε δήιον·*
*οὐ χρεών· ἃ μὲν γὰρ εἶπα σὺν θεοῖσιν ἤνυσα,*
*ἄλ[λ]α [τ' οὐ μά]την ἔερδον, οὐδέ μοι τυραννίδος*
*ἁνδάνει βίᾳ τι [ῥέζ]ειν, οὐδὲ πιεί[ρ]ας χθονὸς*
*πατρίδος κακοῖσιν ἐσθλοὺς ἰσομοιρίαν ἔχειν.*

*[πάλιν] δὲ καὶ περὶ τῆς ἀπ[οκ]οπῆς τῶν χ[ρε]ῶν, καὶ τῶν δουλευόντων μὲν πρότερον, ἐλευθερωθέντων δὲ διὰ τὴν σεισάχθειαν* (fr. 36)·

*ἐγὼ δὲ τῶν μὲν οὕνεκα ξ[υ]νήγαγον*
*δῆμον, τί; τούτων πρὶν τυχεῖν ἐπαυσάμην;*
*συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου*
*μήτηρ μεγίστη δαιμόνων [Ὀλυ]μπίων*
*ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε*
*ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότα[ς],*
*πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.*

---

TESTIM. 1 Plut. Sol. 16 (v. 4. 5). Aristid. II 536 Di. Plut. Sol. 15 (v. 6. 7). 15 Aristid. II 536 Di. (v. 3—27).

---

1 *ἁρπαγαῖς συνῆλθον* Sakell. 3 *κἀμὲ* W.-K.[3] 5 *δήιοι* K., H.-L. (Reisk.: *δήιον* chart. Plut.). 7 *ἅμα* (*ἄλλα* Gaisf.) *δ' οὐ μάτην* Aristid., unde [*ἄλλα δ' α*]*ὖ μ*[*ά*]*την* K.[1], it. sed *οὐ* W.-K., H.-L., K.[3], quae (praeter *υ*) agn. Wn.; sed K. postea ΑΛ . Α . . ., mihi ne Μ quidem certum visum (ΛΑ̣?), neque Δ exstitisse puto.
8 *ἥνδανεν* Richards. 9 *κακοῖσιν* Newman, Bl., al. 10 *πάλιν* K.; . . . . *ει* Wn. (ante ЄΙ vel Ν vel Μ vel C) W.-K.[3] (incerta sec. K.); reliqua expedivit Wessely (K.[3]). 11 *περὶ* ante *τῶν* desiderat Kb. 11 sq. *δὲ διὰ* recte K. 13 *εἵνεκ'* W.-K.[2], tum falso *ἀξονήλατον* K. (*-τῶν* W.-K.[2]), cum in chart. sit ΟΥΝЄΚΑΞ. ΝΗΓΑΓΟΝ (ita plane recte H.-L.); inde versum rest. (Platt) H.-L. (W.-K.[3]). 14 *τί;*] cf. Dem, 20, 160. *τυχῶν* K.; id. concedit etiam *τυχεῖν* (Tyrrell, Bl.; tum Wn., W.-K.[3]) legi posse. CAMAN Berol. 15 ΜΑΡΤΥΡΟΙΗΝ Berol. 16 ΔΑΙΜΟΝΩΝΟΛ . . Berol., id. 18 sq. ΠЄΠΗΓΟ[Τ]ΑCΠΡΟCΘЄΝ.

πολλοὺς δ' Ἀθήνας, πατρίδ' εἰς θεόκτιτον,
[ἀνή]γαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὑπὸ
χρειοῦς φυγόντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλαν[ωμέν]ους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, ἤθη δεσποτῶν τρομευμέν[ους],
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει,
ὁμοῦ βίαν τε καὶ δίκην συναρμόσας,
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχ[ό]μην.
θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβών,
[κ]ακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ,
οὐκ ἂν κατέσχε δῆμον· εἰ γὰρ ἤ[θε]λον
ἃ τοῖς ἐναντίο[ισι]ν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν οὕτεροι φρασαίατο,
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' ἀλκὴν πάντοθεν ποιούμενος
ὡς ἐν κυσὶν πολλῇσιν ἐστράφην λύκος.

---

TESTIM. 9 Plut. Sol. 15 (v. 11—14. 16).

---

1 ΘЄΟΚΤΙϹΤΟΝ pr. 2 ΑΝΗΓΑΓΟΝ Berol. 4 sq. χρειοῖ ἀναγκαίῃ Hom. Θ 57; inde ionismus. 5 . . ΝΩΜЄΝΟΥϹ Berol.
8 sq. ΚΡΑΤЄЄΙΝΟΜΟΥ Lond., ΚΡ. ΤΗΟΜΟΥ Berol.; ap. Aristid. est κράτει (v. l. κράτῃ) ὁμοῦ; it. ὁμοῦ Plut. Hinc κράτει | ὁμοῦ K.[1], W.-K., κράτει | νόμου H.-L., K.[3] Etiam κράτῃ ferri potest (Soph. Antig. 485). 10 ΥΠΙϹΧ sec. Wn. 11 ΘЄϹΜΟΝ Berol. ΤЄΟΜΟΙΩϹ, superscr. ut vid. v. l. Θ; δ' ὁμ. (cum Aristid., Berol.?) Wyse, W.-K. 14 ΚΑΚΟΦ . . ut vid. Berol. 15 ΗΘЄΛΟΝ Berol. 16 ΑΥΤΟΙϹЄΝΑΝ corr. K. (ΑΤΟ in Berol. legit Diels). 17 ΑΥΤΙϹ Berol. ΔЄΑΥΤΟΙϹΙΝ
οὕτεροι recte W.-K. 18 ЄΧЄ . . Berol. 19 τῶν (Τ(ΩΝ)) (Bernardakis) W.-K. ποιεύμενος (Platt) W.-K.[2], H.-L. male (cum non sit locus ionismo in verbo vulgari) et contra chart. (κυκεύμενος Aristid.). 20 ΚΥϹΙΠΟΛΛΗΙϹΙΝ (non -αῖσιν, ut K. al.). ἐστράφην Aristid. (K., W.-K., H.-L., tamquam ex chart.):

καὶ πάλιν ὀνειδίζων πρὸς τὰς ὕστερον αὐτῶν μεμψιμοιρίας ἀμφοτέρων· 5

δήμῳ μὲν εἰ χρὴ διαφάδην ὀνειδίσαι,
ἃ νῦν ἔχουσιν οὔποτ' ὀφθαλμοῖσιν ἂν
εὕδοντες εἶδον.
ὅσοι δὲ μείζους καὶ βίαν ἀμείνονες
αἰνοῖεν ἄν με καὶ φίλον ποιοίατο·

εἰ γάρ τις ἄλλος φησὶ ταύτης τῆς τιμῆς ἔτυχεν (cf. fr. 36 extr.),

οὐκ ἂν κατέσχε δῆμον οὐδ' ἐπαύσατο,
πρὶν ἀνταράξας πῖαρ ἐξεῖλεν γάλα. ‖
pag. 5 ἐγὼ δὲ τούτων ὥσπερ ἐν μεταιχμίῳ
ὅρος κατέστην.

XIII. τὴν μὲν οὖν ἀποδημίαν ἐποιήσατο διὰ ταύτας τὰς αἰτίας. Σόλωνος δ' ἀποδημήσαντος, ἔτι τῆς πόλεως τεταραγμένης, ἐπὶ μὲν ἔτη τέτταρα διῆγον ἐν ἡσυχίᾳ· τῷ δὲ πέμπτῳ μετὰ τὴν Σόλωνος ἀρχὴν οὐ 590/89
κατέστησαν ἄρχοντα διὰ τὴν στάσιν, καὶ πάλιν ἔτει 586/5
πέμπτῳ ⟨διὰ⟩ τὴν αὐτὴν αἰτίαν ἀναρχίαν ἐποίησαν. μετὰ δὲ ταῦτα διὰ τῶν αὐτῶν χρόνων Δ[α]μα[σίας 2
α]ἱρεθεὶς ἄρχων ἔτη δύο καὶ δύο μῆνας ἦρξεν, ἕως 582—80
ἐξηλάθη βίᾳ τῆς ἀρχῆς. εἶτ' ἔδοξεν αὐτοῖς διὰ τὸ στασιάζειν, ἄρχοντας ἑλέσθαι δέκα, πέντε μὲν εὐπα-

TESTIM. 10 Plut. Sol. 16 (v. 1. 2).

ΕΓ(sive ΕΤ)ΡΑΦΗΝ. 1 αὐτῶν (Bl.) recte W.-K. 3 χρὴ διαφράδην recte leg. K. (διαφάδην emend. Condos, W.-K., K.³). 11 ἀνταράξας.. ἐξεῖλεν (Sidgwick, Bl.; pridem Gildersleeve et Adam ap. K.³ ex Plut.) H.-L. (ἢ ταρ. .. ἐξεῖλεν W.-K.²·³). ΕΞΕΙΛΕΝ chart.; ead. ΠΥΑΡ; πῖαρ omnes ex Plut. 17 sq. οὐ κατέστησαν recte W.-K. (Condos, K.³) 19 διὰ add. (Berolin., in qua διαταυτην ... legitur) K. in not., W.-K., H.-L. ΑΙΤΙΑΝΑΡΧΑΙΑΝ corr. (Burnet, al.) W.-K., H.-L., K.³ 20 διὰ τ. αὐτ. χρ. male del. W.-K. 20 suppl. K. (Berol.) 22 ΛΑΣΘΗ (it. Berol.). 23 (pro δέκα, πέντε) Berol. τέτταρ]ας (Bl., Landwehr, Diels) ut vid., quod olim tuebatur E. Meyer, sed v. Forschungen II, 537 sqq. (app.).

τριδῶν, τρεῖς δὲ ἀ[γρ]οίκων, δύο δὲ δημιουργῶν, καὶ
580/79 οὗτοι τὸν μετὰ Δαμασίαν ἦρξαν ἐνιαυτόν. ᾧ καὶ δῆλον
ὅτι μεγίστην εἶχεν δύναμιν ὁ ἄρχων· φαίνονται γὰρ
3 ἀεὶ στασιάζοντες περὶ ταύτης τῆς ἀρχῆς. ὅλως δὲ
διετέλουν νοσοῦντες τὰ πρὸς ἑαυτούς, οἱ μὲν ἀρχὴν
καὶ πρόφασιν ἔχοντες τὴν τῶν χρεῶν ἀποκοπήν (συν-
εβεβήκει γὰρ αὐτοῖς γεγονέναι πένησιν), οἱ δὲ τῇ πο-
λιτείᾳ δυσχεραίνοντες, διὰ τὸ μεγάλην γεγονέναι μετα-
βολήν, ἔνιοι δὲ διὰ τὴν πρὸς ἀλλήλους φιλονικίαν.
4 ἦσαν δ' αἱ στάσεις τρεῖς· μία μὲν τῶν παραλίων, ὧν
προειστήκει Μεγακλῆς ὁ Ἀλκμέωνος, οἵπερ ἐδόκουν
μάλιστα διώκειν τὴν μέσην πολιτείαν. ἄλλη δὲ τῶν
πεδιακῶν, οἳ τὴν ὀλιγαρχίαν ἐζήτουν· ἡγεῖτο δ' αὐτῶν
Λυκοῦργος. τρίτη δὲ τῶν διακρίων, ἐφ' ᾗ τεταγμέ-
νος ἦν Πεισίστρατος, δημοτικώτατος εἶναι δοκῶν.
5 προσεκεκόσμηντο δὲ τούτοις οἵ τε ἀφῃρημένοι τὰ χρέα
διὰ τὴν ἀπορίαν, καὶ οἱ τῷ γένει μὴ καθαροὶ διὰ
τὸν φόβον· σημεῖον δ' ὅτι μετὰ τὴν [τῶν] τυράννων
κατάλυσιν ἐποίησαν *διαψηφισμόν, ὡς πολλῶν κοινω-
νούντων τῆς πολιτείας οὐ προσῆκον. εἶχον δ' ἕκαστοι
τὰς ἐπωνυμίας ἀπὸ τῶν τόπων, ἐν οἷς ἐγεώργουν.
XIV. δημοτικώτατος δ' εἶναι δοκῶν ὁ Πεισίστρατος,
καὶ σφόδρ' εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ,
κατατραυματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ

TESTIM. 1 Hes. ἀγροιῶται. 10 sqq. schol. Ar. Vesp. 1223.

1 ἀγρ. K. (sunt vestigia P litt.); ἀποίκων Berol., quod tuetur Wright. 2 ᾧ καὶ c. Berol. (et Lond.) Fränkel, W.-K., H.-L. 3 δύναμιν [εἶχεν] male Berol. (ᾧ καὶ .. μεγί- = στην ε. δ. ὁ ἄρ.) 4 ΑΕΙ Berol.: ΑΙΕΙ (app.). 5 νοσοῦντες om. Berol. 9 ἔνιοι μὲν Berol. 10 ΔΕΑΙ Berol. 13 ἐζήλουν (H., Bury) H.-L. 14 ΔΗ (δ' ἡ), app. 16 προσεκεκόσμηντο] v. Kb. p. 38. 18 τῶν add. (Bl., Gennadios) W.-K., H.-L.; sunt in charta vestigia. 19 ΔΙΑΦΗΜΙΣΜΟΝ corr. (Sandys, Kontos) W.-K., H.-L. 24 ὑπὸ W.-K.

τῶν ἀντιστασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν αὑτῷ
δοῦναι τοῦ σώματος, Ἀρίστωνος γράψαντος τὴν γνώ-
μην. λαβὼν δὲ τοὺς κορυνηφόρους καλουμένους, ἐπα-
ναστὰς μετὰ τούτων τῷ δήμῳ, κατέσχε τὴν ἀκρόπολιν
ἔτει †δευτέρῳ καὶ τριακοστῷ μετὰ τὴν τῶν νόμων 560/59
θέσιν, ἐπὶ Κωμέου ἄρχοντος. λέγεται δὲ Σόλωνα Πεισι- 2
στράτου τὴν φυλακὴν αἰτοῦντος, ἀντιλέξαι καὶ εἰπεῖν ὅτι
τῶν μὲν εἴη σοφώτερος, τῶν δ' ἀνδρειό[τερο]ς· ὅσοι μὲν
γὰρ ἀγνοοῦσιν Πεισίστρατον ἐπιτιθέμενον τυραν[νίδι],
σοφώτερος εἶναι τούτων, ὅσοι δ' εἰδότες *κατασιωπῶσιν
ἀνδρειότερος. ἐπεὶ δὲ λέγων [οὐκ ἔ]πειθεν, ἐξαρά-
μενος τὰ ὅπλα πρὸ τῶν θυρῶν, αὐτὸς μὲν ἔφη βε-
βοηθηκέναι τῇ πατρίδι, καθ' ὅσον ἦν δυνατός (ἤδη
γὰρ σφόδρα πρεσβύτης ἦν), ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους
ταὐτὸ τοῦτο ποιεῖν. Σόλων μὲν [οὖν ο]ὐδὲν ἤνυσεν 3
τότε παρακαλῶν· Πεισίστρατος δὲ λαβὼν τὴν ἀρχὴν
διῴκει τὰ κοινά, πολιτικῶς μᾶλλον ἢ τυραννικῶς.
οὔπω δὲ τῆς ἀρχῆς ἐρριζωμένης, ὁμοφρονήσαντες οἱ
περὶ τὸν Μεγακλέα καὶ τὸν Λυκοῦργον, ἐξέβαλον
αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάστασιν, ἐφ' 556/5
Ἡγησίου ἄρχοντος. ἔτει δ' *ἐνδεκάτῳ μετὰ *ταύτην 4
περιελαυνόμενος ὁ Μεγακλῆς τῇ στάσει, πάλιν ἐπικηρυ-
κευσάμενος πρὸς τὸν Πεισίστρατον, ἐφ' ᾧτε τὴν θυ-
γατέρα αὐτοῦ λήψεται, κατήγαγεν αὐτὸν ἀρχαίως καὶ

---

TESTIM. 6—14 Plut. Sol. 30. Ael. V. H. VIII, 16. Diog. L. I, 49 sq. 65. 11 sqq. Plut. Mor. 794E. Diod. IX, c. 20 (29).

---

1 ЄΑΥΤΩΙ. 2 CΤΙΩΝΟC, app. 5 *δευτέρῳ*] *δ'* (*τετάρτῳ*) Bauer, W.-K. in adnot.; v. app. 9 -CΙ. 10 -ΠΩΝΤЄC (corr. K.). 11 *οὐκ ἔπειθεν* (Wyse, al.) W.-K., H.-L., K.[3] (app.). ЄΞΑΙΡ 21 ΔЄΔΩΔЄΚΑΤΩΙ (app.). ΤΑΥΤΑ, corr. Bauer (app.). 24 ΑΡΧΑΪΚΩC, sed ΩC super ΚΩC adscripsit corrector, quem recte secuti sunt W.-K. (app.).

*λίαν ἁπλῶς. προδιασπείρας γὰρ λόγον, ὡς τῆς Ἀθηνᾶς καταγούσης Πεισίστρατον, γυναῖκα καὶ μεγάλην καὶ καλὴν ἐξευρών, ὡς μὲν Ἡρόδοτός φησιν* (I 60) *ἐκ τοῦ δήμου τῶν Παιανιέων, ὡς δ' ἔνιοι λέγουσι ἐκ τοῦ Κολλυτοῦ στεφανόπωλιν Θρᾷτταν, ᾗ ὄνομα Φύη, τὴν θεὸν ἀπομιμησάμενος τῷ κόσμῳ, συνεισήγαγε μετ' αὐτοῦ, καὶ ὁ μὲν Πεισίστρατος ἐφ' ἅρματος εἰσήλαυνε, παραιβατούσης τῆς γυναικός, οἱ δ' ἐν τῷ ἄστει προσκυνοῦντες ἐδέχοντο θαυμάζοντες.*

XV. *ἡ μὲν οὖν πρώτη κάθοδος ἐγένετο τοιαύτη. μετὰ δὲ ταῦτα ὡς ἐξέπεσε τὸ δεύτερον, ἔτει μάλιστα ἑβδόμῳ μετὰ *τὸ πρῶτον· οὐ γὰρ πολὺν χρόνον διακατέσχεν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι τῇ τοῦ Μεγακλέους θυγατρὶ συγγίγνεσθαι, φοβηθεὶς ἀμφοτέρας τὰς*
2 *στάσεις ὑπεξῆλθεν· ⟦καὶ πρῶτον μὲν⟧ συνῴκισε περὶ τὸν Θερμαῖον κόλπον χωρίον ὃ καλεῖται Ῥαίκηλος, ἐκεῖθεν δὲ παρῆλθεν εἰς τοὺς περὶ Πάγγαιον τόπους, ὅθεν χρηματισάμενος καὶ στρατιώτας μισθωσάμενος, ἐλθὼν εἰς Ἐρέτριαν ἑνδεκάτῳ πάλιν ἔτει ⟨μετὰ⟩ τὸ πρῶτον ἀνασώσασθαι βίᾳ τὴν ἀρχὴν ἐπεχείρει, συμπροθυμουμένων αὐτῷ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ Θηβαίων*

---

2 ΚΑΙΓΥΝΑΙΚΑΜΕΓΑΛΗΝ; *καὶ* del. W.-K.[2.3]; ipse transposui ob numeros: *γυναῖκα καὶ .. ἐξευ-* = *-ρών, ὡς .. δή(μου)*. Cf. c. 25, 1; app. 3 ΦΗ compendium. 4 -CIN. 5 ΚΟΛΥΤΟΥ altero Τ superscr. *ὄνομα ⟨ἦν⟩ Φ.* Papageorg., coll. c. 17, 4. 6 sq. *συνεισήγαγεν* (K.; -ЄN) recte H.-L., W.-K.[3] (*συν* per comp.): *κατήγ.* K.[1], W.-K.[1.2] 7 *μετ' αὐτῆς* Pantazid. 11 *ὡς* del. W.-K. (qui sibi ne nunc quidem certam esse videri dicunt lectionem ΩC), *αὖθις* scr. (Gennadios) H.-L.; ipse circumscripsi quaedam in v. 15 (app.). 12 scripsi quod pridem conieceram *μετὰ τὸ πρῶτον* pro ΜΕΤΑΤΗΝΚΑΘΟΔΟΝ; cf. de toto loco app. 13 *διακατέσχεν*] *δια* in extr. versu (om. K., al.); *κατεῖχεν* contra chart. et falso (Wyse) W.-K.[1.2], H.-L., K.[3] Ut ego Wn., W.-K.[3] 15 v. ad 11. *ᾤκισε* (Gennad., Hude) H.-L. Cf. Heracl. exc. *Τενεδίων πολ.* 16 ΡΑΚΗΔΟC pr. 19 ⟨*μετὰ*⟩ *τὸ πρ.* Radinger, Cichorius, app.

*καὶ Λυγδάμιος τοῦ Ναξίου, ἔτι δὲ τῶν ἱππέων τῶν*
pag. 6 *ἐχόντων ἐν Ἐρετρίᾳ τὴν πολιτείαν. ‖ νικήσας δὲ τὴν* 3
*ἐπὶ Παλληνίδι μάχ[η]ν καὶ λαβὼν τὴν [πό]λιν καὶ*
*παρελόμενος τοῦ δήμου τὰ ὅπλα, κατεῖχεν ἤδη τὴν*
*τυραννίδα βεβαίως· καὶ Ν[ά]ξον ἑλὼν ἄρχοντα κατέ-*
*στησε Λύγδαμιν. παρεῖλε δὲ τοῦ δήμου τὰ ὅπλα* 4
*τόνδε τὸν τρόπον. ἐξοπλασίαν ἐν τῷ Θησείῳ ποιησά-*
*μενος ἐκκλησιάζειν ἐπεχείρει, . . . . . . . . . . ασεν μι-*
*κρόν· οὐ φασκόντων δὲ κατακούειν, ἐκέλευσεν αὐτοὺς*
*προσαναβῆναι πρὸς τὸ πρόπυλον τῆς ἀκροπόλεως, ἵνα*
*γεγωνῇ μᾶλλον. ἐν ᾧ δ' ἐκεῖνος διέτριβε δημηγορῶν,*
*ἀνελόντες οἱ ἐπὶ τούτῳ τεταγμένοι τ[ὰ ὅπλ]α, καὶ κατα-*
*[κ]λήσαντες εἰς τὰ πλησίον οἰκήματα τοῦ Θησείου,*
*διεσήμηναν ἐλθόντες πρὸς τὸν Πεισίστρατον. ὁ δὲ ἐπεὶ* 5
*τὸν ἄλλον λόγον ἐπετέλεσεν, εἶπε καὶ περὶ τῶν ὅπλων*
*τὸ γεγονὸς ὡς οὐ χρὴ θαυμάζειν, οὐδ' ἀθυμεῖν, ἀλλ'*

---

TESTIM. 2 *schol. Arist. Ach. 234. 7 cf. Polyaen. I 21, 2.

---

3 *τὴν [π]όλιν* Wn., W.-K.[3], quod non improbat K. (ante Ν vel Η vel ΛΙ): *τὴν [ἀρχή]ν* plerique (app.). 5 *καὶ Ν.* recte K.[3]
6 *παρεῖλεν δὲ* K.[1], *παρείλε[τ]ο* (Rutherf.) *δὲ* H.-L., K.[3], W.-K.[3] Lectio haud dubia; sed est medium et paullo ante et ceteris locis (c. 37, 1. 2; 27, 1); rarius omnino activum. At turbare non ausus sum congruentiam hanc: (*καὶ*) *Νάξον . . Λύγδαμιν* = (*πα*)*ρεῖλε . . τρόπον* (praeter syllabas -*τε*(*στ*)- et -*πλα*). Cf. c. 25, 2.
7 *ἐξοπλισ.* corrigunt K., H.-L. ΘΗϹЄΙΩΙ recte K.[3] (*Ἀνακείῳ* Polyaen.). 8 supplem. incertum: *φθέγγεσθαι δ' ἐσπούδ]ασεν* W.-K.[1. 2], *ἐπίτηδες δ' ἐφώνη]σεν* (Tyrrell, Gertz) H.-L., *τῆς δὲ φωνῆς ἐχάλ]ασεν* (Condos) K.[3]; . . . . . . (Γω?)Δ'ἘϹ̣Ṭ̣Є̣Γ̣ЄΝ agn. Wn. Ap. Polyaen. est *σμικρᾷ τῇ φωνῇ λέγειν ἤρχετο.* 9 *διακούειν* Wn., W.-K.[3] 12 ΤΟΎΤ(ΩΝ); tum littera (Δ Wn.) ante ΤЄΤ. deleta. *Τούτῳ* Rutherf. (cf. p. 25, 14), K.[3], *τοῦτο* W.-K. (*τοῦτ' ἐπιτετ.* H.-L.). Cf. app. *ὅπλα αὐτῶν* [*καὶ*] K. al., sed neque legitur pronom. in charta neque ei spatium est. 12 sq. *κατακλ.* Bl.[2]: *συγ]κλήσ.* pridem K.; *παρακλ.* Wn., W.-K.[3] (dubitat K., sed *κατα-* praefert). 16 [*λέγων ὡς οὐ χρὴ*] K.[1], quae spatium non capit; [*καὶ ὡς οὐ χρὴ*] H.-L., K.[3], [*ὡς οὐ*] *χρὴ* Bl.[2], Wn. (*ὡς οὐ χρ.*) W.-K.[3] Cf. c. 25, 4. *ἀθυμεῖν* recte W.-K., K.[3]

ἀπελθόντας ἐπὶ τῶν ἰδίων εἶναι, τῶν δὲ κοινῶν αὐτὸς ἐπιμελήσεσθαι πάντων.

XVI. ἡ μὲν οὖν [Π]εισιστράτου τυραννὶς ἐξ ἀρχῆς
τε κατέστη τοῦτον τὸν τρόπον, καὶ μεταβολὰς ἔσχεν
2 τοσαύτας. διῴκει δ' ὁ Πεισίστρατος, ὥσπερ εἴρηται, τὰ
περὶ τὴν πόλιν μετρίως καὶ μᾶλλον πολιτικῶς ἢ τυ-
ραννικῶς· ἔν τε γὰρ τοῖς ἄλλοις φιλάνθρωπος ἦν καὶ
πρᾶος, καὶ τοῖς ἁμαρτάνουσιν συγγνωμονικός, καὶ δὴ
καὶ τοῖς ἀπ[ό]ροις προεδάνειζε χρήματα πρὸς τὰς ἐργα-
3 σίας, ὥστε διατρέφεσθαι γεωργοῦντας. τοῦτο δ' ἐποίει
δυοῖν χάριν, ἵνα μήτε ἐν τῷ ἄστει διατρίβωσιν, ἀλλὰ
διεσπαρμένοι κατὰ τὴν χώραν, καὶ ὅπως εὐποροῦντες
τῶν μετρίων καὶ πρὸς τοῖς ἰδίοις ὄντες, μήτ' ἐπιθυ-
4 μῶσιν μήτε σχολάζω[σι] ἐπιμελεῖσθαι τῶν κοινῶν. ἅμα
δὲ συνέβαινεν αὐτῷ καὶ τὰς προσόδους γίγνεσθαι
μείζους, ἐξεργαζομένης τῆς χώρας· ἐπράττετο γὰρ ἀπὸ
5 τῶν γιγνομένων δεκάτην. διὸ καὶ τοὺς κατὰ δήμους
κατεσκεύασε δικαστάς, καὶ αὐτὸς ἐξῄει πολλάκις εἰς
τὴν χώραν, ἐπισκοπῶν καὶ διαλύων τοὺς διαφερομέ-
νους, ὅπως μὴ καταβαίνοντες εἰς τὸ ἄστυ παραμελῶσι
6 τῶν ἔργων. τοιαύτης γάρ τινος ἐξόδου τῷ Πεισι-
στράτῳ γιγνομένης, συμβῆναί φασι τὸ περὶ τὸν ἐν τῷ
[Υ]μηττῷ γεωργοῦντα τὸ κληθὲν ὕστερον χωρίον ἀτε-
λές. ἰδὼν γάρ τινα παντελῶ[ς] πέτρας σκάπτοντα καὶ

---

1 *εἶναι* add. Marchant, Wyse; compend. agn. K. *αὐτὸς* (Richards, Wyse) *ἐπιμ.* W.-K., K.[3] 5 *εἴρηται* Radinger, [*τὰ κατὰ*] Bl., *τὰ π(ερὶ)* agn. Wn. (W.-K.[3]), prob. K. 7 *ἄλλοις* (Poland, Radinger) recte W.-K., K.[3] 10 *διατρ. γ.* recte W.-K., K.[3]
14 -ΩCI, tum -Ω . . Ν. 16 *ἐξ ἐργ.* (v. L.) H.-L. -ZOMENOC pr. sec. Wn. 18 CKEYAZE corr. W.-K. 19 *διαλύων* recte W.-K., K.[3] 21 *ἔργων* Wn., W.-K.[3] (prob. K.): [*ἀγρ*]*ῶν* K., *ἀγρῶν* Bl.
22 BHNAIIIΦACI sec. Wn. *τὸ περὶ* recte (v. L.; ambigit Wn.) H.-L., Bl.[2], W.-K.[3]: *τὰ περὶ* K. 23 cf. Diod. IX, 37, 2; Mantissa prov. 1, 76 Y]MMHTΩI exstare vid. 24 *π . . . . λω*[*ς ἐν*] W.-K.[1. 2], *παντελῶς ἐν*, in quod ipse incidi, Wessely quoque

ἐργαζόμενον, διὰ τὸ θαυμάσαι τὸν παῖδα ἐκέλευσεν
ἐρέσθαι, τί γίγνεται ἐκ τοῦ χωρίου· ὁ δὲ 'ὅσα κακὰ
καὶ ὀδύναι' ἔφη, 'καὶ τούτων τῶν κακῶν καὶ ⟦τῶν⟧
ὀδυνῶν Πεισίστρατον δεῖ λαβεῖν τὴν δεκάτην.' ὁ μὲν
οὖν ἄνθρωπος ἀπεκρίνατο ἀγνοῶν, ὁ δὲ Πεισίστρατος
ἡσθεὶς διὰ τὴν παρρησίαν καὶ τὴν φιλεργίαν ἀτελῆ
πάντων ἐποίησεν αὐτόν. οὐδὲν δὲ τὸ πλῆθος οὐδ' ἐν 7
τοῖς ἄλλοις παρ<ην>ώχλει κατὰ τὴν ἀρχήν, ἀλλ' αἰεὶ
παρεσκ[εύ]αζεν εἰρήνην καὶ ἐτήρει τὴν ἡσυχίαν· διὸ
καὶ πολλάκις [εὐλογοῦσ]ιν ὡς ἡ Πεισιστράτου τυραν-
νὶς ὁ ἐπὶ Κρόν[ου] βίος εἴη· συνέβη γὰρ ὕστερον
δια[δε]ξ[α]μένων τῶν υἱέων, πολλῷ γενέσθαι τραχυ-
τέραν τὴν ἀρχήν. μέγιστον δὲ πάντων ἦ[ν] τῶν ἐ[παινου]- 8
μένων, τὸ δημοτικὸν εἶναι τῷ ἤθει καὶ φιλάνθρωπον.
ἔν τε γὰρ τοῖς ἄλλοι[ς] ἐβ[ο]ύλ[ε]το πάντα διοικεῖν
κατὰ τοὺς νόμους, οὐδεμίαν ἑαυτῷ πλεονεξίαν διδούς,

---

invenit; sed ἐν locum habere recte negat K. *Πέτρας* K., H.-L., Wn. (π]έτρας); minime exstat ΠΕΤΡΑΙ, sed falsa species est Ι litterae. *Παντελῶς πέτρας* et. Lacon, W.-K.[3] Cf. praeter locos allatos Zenob. IV, 76. Procop. in Villois. Anecd. II, 40 (Paton; cf. Wil. I, 292). 1 „διὰ τὸ θαυμ. offendit" W.-K.[3]; δ. τὸ θαυμαστὸν Papageorg.; app. παῖδα recte W.-K. (v. L.) H.-L., K.[3] -ΕΥΕΝ, corr. Fränkel. 3 τῶν κακῶν κ. τ. ὀδ. del. H.-L., τῶν ante ὀδ. del. W.-K. (app.). 5. <αὐτὸν> ἀγν. H. Hude (app.). 7 ἁπάντων K., πάντων chart. 8. παρ<ην>ώχλ. (Wyse, Jos. Mayor) W.-K., H.-L. 10 [τοῦτ' ἐλέ]γετο W.-K.[1.2], [ὕστερον ἐλέγ.] H.-L., ἐθρύλησαν Wessely ap. K.[3], qui ΕΘΡ dicit agnosci posse, minime CAN; ἐθ[ρυ]λλ[εῖ]το antea ego; post in charta ἐνθύμιον (ον per comp.) ἦν dispicere mihi visus sum; sed Diels et το confirmat et εθρ legi posse iudicat; ἐθρυλεῖτο tamen cum ceteris vestigiis non convenire. Wn. ΠΟΛΛΑ.ΕΛΕΙΕΤΟΥ..ΙΝ agn.; K. post eum ΠΟΛΛΑΚΛΕ——ΙΝ; πολλ . . ἐλέγετο . . . . . W.-K.[3] Cf. app. 12 διαδεξαμένων recte E. Bruhn. 13 τ. ἐπαινουμ- Jos. Mayor, al.) W.-K.[2], H.-L., K.[3]; τῶν εἰ[ρη]μ. Wn. (W.-K.[3]), quod probans K. rectius tamen scribi dicit ἦ[ν] (ἦν Wn.) τ. ε[ἰρ. Cf. app. 15 [εἰώθει] K., H.-L., [προῃρεῖτο] W.-K.[1.2]; sed ἐ]β[ούλετο (Bl.[2]) et. Wn. (ἐβ[ο]ύλ[ε]το W.-K.[3]).

[καί ποτ]ε προσκληθεὶς φόνου δίκην εἰς Ἄρειον πάγον,
αὐτὸς μὲν ἀπήντησεν ὡς ἀπολογησόμενος, ὁ δὲ προσ-
9 καλεσάμενος φοβηθεὶς ἔλιπεν. διὸ καὶ πολὺν χρόνον
ἔμεινεν [ἡ] ἀ[ρ]χ[ή], καὶ ὅτ' ἐκπέσοι πάλιν ἀνε-
λάμβανεν ῥᾳδίως. ἐβούλοντο γὰρ καὶ τῶν γνωρίμων
καὶ τῶν δημοτικῶν οἱ πολλοί· τοὺς μὲν γὰρ ταῖς ὁμι-
λίαις, τοὺς δὲ ταῖς εἰς τὰ ἴδια βοηθείαις προσ[ή]γετο,
10 καὶ πρὸς ἀμφοτέρους ἐπεφύκει καλῶς. ἦσαν δὲ καὶ
τοῖς Ἀθηναίοις οἱ περὶ τῶν τυράννων νόμοι πρᾷοι
κατ' ἐκείνους τοὺς καιρούς, οἵ τ' ἄλλοι καὶ δὴ καὶ
ὁ μάλιστα καθήκων πρὸς τὴν ⟨ἐπίθεσιν⟩ τῆς τυραν-
νίδος. νόμος γὰρ αὐτοῖς ἦν ὅδε· 'θέσμια τάδε Ἀθη-
ναίων καὶ πάτρια· ἐάν τις ⟨ἢ⟩ τυραννεῖν ἐπανιστῆται
⟦ἐπὶ τυραννίδι⟧, ἢ συγκαθιστῇ τὴν τυραννίδα, ἄτιμον
εἶναι καὶ αὐτὸν καὶ γένος.'

XVII. Πεισίστρατος μὲν οὖν ἐγκατεγήρασε τῇ ἀρχῇ,
528/7 καὶ ἀπέ[θ]ανε νοσήσας ἐπὶ Φιλόνεω ἄρχοντος, ἀφ' οὗ
μὲν κατέστη τὸ πρῶτον τύραννος, ἔτη τριάκοντα καὶ
τρία βιώσας, ἃ δ' ἐν τῇ ἀρχῇ διέμεινεν, ἑνὸς δέοντα

---

3 [ἔλιπεν] cf. Dem. 49, 19. 59, 60 (ἐξέλιπεν Richards, H.-L.).
4 [ἐν τῇ ἀρχῇ (v. vers. 19) καὶ ὅ]τ' (Bl., Lips., καὶ ὅτ' etiam Fränkel) W.-K.$^{2}$, it. sed sine τῇ H.-L., K.$^{3}$ qui ⟨ἐν⟩ [ἀ.]. Certum καὶ ὅτ'; ⟨ἔν⟩ [τῇ] ἀ[ρ]χ[ῇ] Wn., W.-K.$^{3}$ Cf. app. 4 sq. ЄΠЄ-ΛΑΜΒΑΝЄ corr. (Richards) W.-K. (ἀπελ. Wyse, H.-L., K.$^{3}$).
7 προσήγετο (Niemeyer, Lacon) W.-K., H.-L. 8 ἀμφοτέρας (H.) H.-L., ἀμφότερα Condos. 11 καθ[ήκ]ων (K.) exstare vid. (et. Wn., W.-K.$^{3}$): καθεστὼς H.-L. τὴν τῆς legitur (τὰ τῆς H.-L.), itaque lac. statuunt W.-K., de κατάστασιν cogitantes; τυρ. ⟨κατ.⟩ K.$^{3}$, ⟨ἐπίθεσιν⟩ τῆς Sakell., app. 12 sq. Ἀθηναίοις Condos; Ἀθηναί[ων] (-αίων sec. Wn.) recte K., rell. 13 κ(αὶ) πάτρια lego, it. Wn.; [ἐστὶ] πάτρια K., H.-L., κατὰ ⟨τὰ⟩ π. W.-K.$^{3}$ Cf. Eurip. Tr. 267. Thuc. 2, 2. TICTYP. et -CTΩNTAI, app. 14 ἐπὶ τυραννίδι (sic chart., non ΗЄΠΙΤ) del. K., W.-K.
ἢ agn. et. Wn., non TI (W.-K.$^{2}$, K.$^{3}$), cf. H in ἦσαν v. 8; tum CYNKAΘICT[Ḥ]Ṭ(ḤṆ)ṬỴP̣ẠṆṆỊΔA. ⟨ἢ⟩ τι⟨ς⟩ συγκ. K.$^{3}$; ἢ συγκ. (Lips.) W.-K. (συγκαθιστῶ⟨σ⟩ι Papageorg.). 15 κ(αὶ) αὐτὸν recte (L.) H.-L.

εἴκοσι· ἔφευγε γὰρ τὰ λοιπά. διὸ καὶ φανερῶς λη- 2
pag. 7 ροῦσι φάσκοντες ‖ ἐρώμενον εἶναι Πεισίστρατον
Σόλωνος, καὶ στρατηγεῖν ἐν τῷ πρὸς Μεγαρέας πο-
λέμῳ περὶ Σαλαμῖνος· οὐ γὰρ ἐνδέχεται ταῖς ἡλικίαις,
ἐάν τις ἀναλογίζηται τὸν ἑκατέρου βίον καὶ ἐφ᾽ οὗ
ἀπέθανεν ἄρχοντος. τελευτήσαντος δὲ Πεισιστράτου, 3
κατεῖχον οἱ υἱεῖς τὴν ἀρχήν, προάγοντες τὰ πράγματα
τὸν αὐτὸν τρόπον. ἦσαν δὲ δύο μὲν ἐκ τῆς γαμετῆς
Ἱππίας καὶ Ἵππαρχος, δύο δ᾽ ἐκ τῆς Ἀργείας Ἰοφῶν
καὶ Ἡγησίστρατος, ᾧ παρωνύμιον ἦν Θετταλός. ⟨ἐπ⟩έ- 4
γημεν γὰρ Πεισίστρατος ἐξ Ἄργους ἀνδρὸς Ἀργείου θυ-
γατέρα, ᾧ ὄνομ᾽ ἦν Γοργίλος, Τιμώνασσαν, ἣν πρότερον
ἔσχε γυναῖκα Ἀρχῖνος ὁ Ἀμπρακιώτης τῶν Κυψελιδῶν·
ὅθεν καὶ ἡ πρὸς τοὺς Ἀργείους ἐνέστη φιλία, καὶ
συνεμαχέσαντο χίλιοι τὴν ἐπὶ Παλληνίδι μάχην, Ἡγη-
σιστράτου κομίσαντος. γῆμαι δέ φασι τὴν Ἀργείαν οἱ
μὲν ἐκπεσόντα τὸ πρῶτον, οἱ δὲ κατέχοντα τὴν ἀρχήν.

XVIII. ἦσαν δὲ κύριοι μὲν τῶν πραγμάτων διὰ τὰ
ἀξιώματα καὶ διὰ τὰς ἡλικίας Ἵππαρχος καὶ Ἱππίας,
πρεσβύτερος δὲ ὢν ὁ Ἱππίας καὶ τῇ φύσει πολιτικὸς
καὶ ἔμφρων ἐπεστάτει τῆς ἀρχῆς. ὁ δὲ Ἵππαρχος παι-
διώδης καὶ ἐρωτικὸς καὶ φιλόμουσος ἦν, καὶ τοὺς περὶ
Ἀνακρέοντα καὶ Σιμωνίδην καὶ τοὺς ἄλλους ποιητὰς
οὗτος ἦν ὁ μεταπεμπόμενος. Θετταλὸς δὲ νεώτερος 2
πολὺ καὶ τῷ βίῳ θρασὺς καὶ ὑβριστής, ἀφ᾽ οὗ καὶ

TESTIM. 10 Plut. Cat. mai. 24.

1 ἔφευγε (Jos. Mayor, Rutherf., al.) charta, sed -ΓЄ. 2 ⟨οἱ⟩ φάσκ. (H., Lacon, al.) W.-K., H.-L. (app.). 7 ΠΡΟΑΓΑΓΟΝΤЄC corr. (Bl., H., al.) W.-K., H.-L., K.$^3$ 8 ⟨Ἀττικῆς⟩ γαμ. (H.) H.-L. 9 τῆς] τινος Bart. 10 ⟨ἐπ⟩έγημεν Papageorg., Kb. (Plut. Cat. mai. 24). 13 ЄCXЄN. 14 συνέστη (L.) H.-L. 15 Ἡγησ. chart. (John Mayor) W.-K., H.-L., K.$^3$ Argivus quidam fuit, Wilcken Herm. 1897, 480. 18 ΤΩΝΜЄΝ corr. (Richards, Bl.) W.-K., H.-L., K.$^3$

συνέβη τὴν ἀρχὴν αὐτοῖς γενέσθαι πάντων τῶν κακῶν. ἐρασθεὶς γὰρ τοῦ Ἁρμοδίου καὶ διαμαρτάνων τῆς πρὸς αὐτὸν φιλίας, οὐ κατεῖχε τὴν ὀργήν, ἀλλ᾽ ἔν τε τοῖς ἄλλοις ἐνεσημαίνετο πικρῶς, καὶ τὸ τελευταῖον μέλλουσαν αὐτοῦ τὴν ἀδελφὴν κανηφορεῖν Παναθηναίοις ἐκώλυσε, λοιδορήσας τι τὸν Ἁρμόδιον ὡς μαλακὸν ὄντα, ὅθεν συνέβη παροξυνθέντα τὸν Ἁρμόδιον καὶ τὸν Ἀριστογείτονα, πράττειν τὴν πρᾶξιν μετεχόντων
3 πολλῶν. ἤδη δὲ παρατηροῦντες ἐν ἀκροπόλει τοῖς Παναθηναίοις Ἱππίαν (ἐτύγχανεν γὰρ οὗτος μὲν [δ]εχόμενος, ὁ δ᾽ Ἵππαρχος ἀποστέλλων τὴν πομπήν), ἰδόντες τινὰ τῶν κοινωνούντων τῆς πράξεως φιλανθρώπως ἐντυγχάνοντα τῷ Ἱππίᾳ, καὶ νομίσαντες μηνύειν, βουλόμενοί τι δρᾶσαι πρὸ τῆς συλλήψεως, καταβάντες καὶ
514/3 προεξαναστάντες τῶν [ἄλλ]ων, τὸν μὲν Ἵππαρχον διακοσμοῦντα τὴν πομπὴν παρὰ τὸ Λεωκόρειον ἀπέκτει-
4 ναν, τὴν δ᾽ ὅλην ἐλυμήναντο πρᾶξιν, αὐτῶν δ᾽ ὁ μὲν Ἁρμόδιος εὐθέως ἐτελεύτησεν ὑπὸ τῶν δορ[υ]φόρων, ὁ δ᾽ Ἀριστογείτων ὕστερον, συλληφθεὶς καὶ πολὺν χρόνον αἰκισθείς. κατηγόρησε δ᾽ ἐν ταῖς ἀνάγκαις πολλῶν, οἳ καὶ τῇ φύσει τῶν ἐπιφανῶν καὶ φίλοι τοῖς τυράννοις ἦσαν. οὐ γὰρ ἐδύναντο παραχρῆμα λαβεῖν οὐδὲν ἴχνος τῆς πράξεως, ἀλλ᾽ ὁ λεγόμενος λόγος, ὡς ὁ Ἱππίας ἀποστήσας ἀπὸ τῶν ὅπλων τοὺς πομπεύοντας, ἐφώρασε τοὺς τὰ ἐγχειρίδια ἔχοντας, οὐκ ἀληθής

---

2 διαμαρτών? (app.). 4 πικρῶς recte W.-K., K.[3] 6 -CЄN. 7 παροξυνθέντα recte W.-K., K.[3] 8 μετεχόντων πολλῶν satis clare legitur (prob. K., W.-K.[3]). 10 μὲν δεχόμ. recte (L., Condos) W.-K., H.-L., K.[3] 15 [ἄλλων] K., H.-L.; [λοιπῶν] Papageorg., [ἑτέ]ρων W.-K.[3] (IÇṚѠN agn. Wn., sed improbat hoc K.). 16 παρὰ] περὶ H.-L. Cf. Thucyd. 6, 57, ubi codd. παρὰ; sed περὶ I, 20. 17 τὴν [δὲ ὅλ]ην W.-K., τὴν δ᾽ ὅλην recte agn. K.[3] 20 -CЄN. 25 τὰ del. Wil. I, 109. ΑΛΗΘЄC corr. K.

ἐστιν· οὐ γὰρ ἔπεμπον τό⟨τε⟩ μεθ' ὅπλων, ἀλλ' ὕστερον
τοῦτο κατεσκεύασεν ὁ δῆμος. κατηγόρει δὲ τῶν τοῦ 5
τυράννου φίλων, ὡς μὲν οἱ δημοτικοί φασιν ἐπίτηδες,
ἵνα ἀσεβήσαιεν ἅμα καὶ γένοιντο ἀσθενεῖς, ἀνελόντες
τοὺς ἀναιτίους καὶ φίλους ἑαυτῶν, ὡς δ' ἔνιοι λέγου-
σιν οὐχὶ πλαττόμενος, ἀλλὰ τοὺς συνειδότας ἐμήνυεν.
καὶ τέλος ὡς οὐκ ἠδύνατο πάντα ποιῶν ἀποθανεῖν, 6
ἐπαγγειλάμενος ὡς ἄλλους μηνύσων πολλούς, καὶ πεί-
σας ἑαυτῷ τὸν Ἱππίαν δοῦναι τὴν δεξιὰν πίστεως χάριν,
ὡς ἔλαβε ὀνειδίσας ὅτι τῷ φονεῖ τἀδελφοῦ τὴν δε-
ξιὰν δέδωκεν, οὕτω παρώξυνε τὸν Ἱππίαν, ὥσθ' ὑπὸ
τῆς ὀργῆς οὐ κατέσχεν αὑτόν, ἀλλὰ σπασάμενος τὴν
μάχαιραν διέφθειρεν αὐτόν.

XIX. μετὰ δὲ ταῦτα συνέβαινεν πολλῷ τραχυτέραν
εἶναι τὴν τυραννίδα· καὶ γὰρ διὰ τὸ τιμωρεῖν τῷ ἀδελφῷ
καὶ διὰ τὸ πολλοὺς ἀνῃρηκέναι καὶ ἐκβεβληκέναι, πᾶσιν
ἦν ἄπιστος καὶ πικρός. ἔτει δὲ τετάρτῳ μάλιστα μετὰ 2 511/0
τὸν Ἱππάρχου θάνατον, ἐπεὶ κακῶς εἶχεν τὰ ἐν τῷ
ἄστει, τὴν Μουνιχίαν ἐπεχείρησεν τειχίζειν, ὡς ἐκεῖσε
μεθιδρυσόμενος. ἐν τούτοις δ' ὢν ἐξέπεσεν ὑπὸ Κλεο-
μένους τοῦ Λακεδαιμονίων βασιλέως, χρησμῶν γιγνο-
μένων αἰεὶ τοῖς Λάκωσι καταλύειν τὴν τυραννίδα διὰ
τοιάνδ' αἰτίαν. οἱ φυγάδες ὧν οἱ Ἀλκμεωνίδαι προ- 3

1 ЄΠЄΜΠΟΝΤΟ, ἔπεμπον τότε (Bernardakis) W.-K., H.-L., ἔπ. πω Papabasileiu. 4 ἀσεβήσειαν H.-L. ΑΜΑ supra v. ἀσθενεῖς (agn. K.[3], coniectura inven. W.-K.) supra v. add. 9 ΑΥΤΩΙ. 10 -ΒЄΝ 11 -ΚЄ. 12 κατέσχεν recte Gennadios (nihil corr. in chart.). ЄΑΥΤΟΝ 15 τιμωρῶν, secl. καὶ διὰ τὸ, W.-K. Condos. Sed πικρός quia ulcisci pergebat, ἄπιστος sensu activo (ut Hdt. 9, 98) διὰ τὸ πολλοὺς κτέ. (app.). ΤΑΔЄΛΦΩΙ ut 10. 17 Κ(ΑΙ)Π[Ι]ϹΤΟϹ corr. K. (cf. Herod. 5, 62, Heracl. epit. 6). 18 ЄΠЄΙЄΝΚΑΚΩΙ pr. τῷ add. corr. (al. m.), ut c. 39, 5. 19 ΜΟΥΝΥΧΙΑΝ. -ϹЄ. ΈΚЄΙ, corr. (Jos. Mayor, al.) H.-L. 21 ΛΑΚЄΔΑΙΜΟΝΙ[ω], non ΝΟϹ; -νίων recte (ex coni. Bernardakis, H.-L.) W.-K.[2,3], K.[3] 22 ΑЄΙ.

εἰστήκεσαν, αὐτοὶ μὲν δι' αὑτῶν οὐκ ἠδύναντο ποιήσασθαι τὴν κάθοδον, ἀλλ' αἰεὶ προσέπταιον· ‖ ἔν τε γὰρ pag. 8 τοῖς ἄλλοις οἷς ἔπραττον διεσφάλλοντο, καὶ τειχίσαντες ἐν τῇ χώρᾳ Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνεξῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεως, ἐξεπολιορκήθησαν ⟨δ'⟩ ὑπὸ τῶν τυράννων, ὅθεν ὕστερον μετὰ *ταῦτ' εἰς τὴν συμφορὰν ᾖδον ἐν τοῖς σκολιοῖς ⟦αἰεί⟧·

αἰαῖ Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.

4 ἀποτυγχάνοντες οὖν ἐν ἅπασι τοῖς ἄλλοις, ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν ⟨ἐξ⟩οικοδομεῖν, ὅθεν εὐπόρησαν χρημάτων πρὸς τὴν τῶν Λακώνων βοήθειαν. ἡ δὲ Πυθία προέφερεν αἰεὶ τοῖς Λακεδαιμονίοις χρηστηριαζομένοις, ἐλευθεροῦν τὰς Ἀθήνας, εἰς τοῦθ' ἕως προύτρεψε τοὺς Σπαρτιάτας, καίπερ ὄντων ξένων αὐτοῖς τῶν Πεισιστρατιδῶν· συνεβάλλετο δὲ οὐκ ἐλάττω μοῖραν τῆς ὁρμῆς τοῖς Λάκωσιν ἡ πρὸς τοὺς Ἀργείους
5 τοῖς Πεισιστρατίδαις ὑπάρχουσα φιλία. τὸ μὲν οὖν πρῶτον Ἀγχίμολον ἀπέστειλαν κατὰ θάλατταν ἔχοντα στρατιάν· ἡττηθέντος δ' αὐτοῦ καὶ τελευτήσαντος, διὰ τὸ Κινέαν βοηθῆσαι τὸν Θετταλὸν ἔχοντα χιλίους ἱππεῖς, προσοργισθέντες τῷ γενομένῳ, Κλεομένην ἐξέ-

---

TESTIM. 2 *schol. Arist. Lys. 666, cf. ad v. 665 extr.; Et. M. 361, 33. 12 § 4—6 cf. *schol. Ar. Lysistr. 1153.

---

6 ⟨δ'⟩ app. ΤΑΥΤΗΝ ΤΗΝ (εἰς ταύτην τὴν W.-K. ex Etym. M., app.). 7 αἰεί del. (Hude, H.) W.-K., H.-L. (app.). 12 sq. cf. Wil. I, 32 sqq., Pomtow Mus. Rh. 1896, 113 sq., A. Wilhelm Archaeol.-epigraph. Mitth. 1897, 97 sqq. 13 ⟨ἐξ⟩- ex Herod. 5, 62 (app.). 16 τοῦθ' ἕως Bl. (W.-K., H.-L.): ΤΟΥΤΕΥΘΕΩϹ. Cf. c. 25, 4 (et schol. Ar. Lys. 1153). 18 συνεβάλετο (Richards) H.-L. 23 ΘΕϹϹΑΛΟΝ et p. 36, 2 ΘΕϹϹΑΛΩΝ. 24 παροργ. (Naber, ci. W.-K.) H.-L.; sed Herod. 3, 146 confert Kb.

πεμψαν τὸν βασιλέα στόλον ἔχοντα μείζω κατὰ γῆν, ὃς ἐπεὶ τοὺς τῶν Θετταλῶν ἱππεῖς ἐνίκησεν, κωλύοντας αὐτὸν εἰς τὴν Ἀττικὴν παριέναι, κατακλήσας τὸν Ἱππίαν εἰς τὸ καλούμενον Πελαργικὸν τεῖχος, ἐπολιόρκει μετὰ τῶν Ἀθηναίων. προσκαθημένου δ' αὐτοῦ, 6
συνέπεσεν ὑπεξιόντας ἁλῶναι τοὺς τῶν Πεισιστρατιδῶν υἱεῖς· ὧν ληφθέντων ὁμολογίαν ἐπὶ τῇ τῶν παίδων σωτηρίᾳ ποιησάμενοι, [[καὶ]] τὰ ἑαυτῶν ἐν πένθ' ἡμέραις ἐκκομισάμενοι, παρέδωκαν τὴν ἀκρόπολιν τοῖς Ἀθηναίοις ἐπὶ Ἁρπακτίδου ἄρχοντος, κατασχόντες τὴν 511/10
τυραννίδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἔτη μάλιστα ἑπτακαίδεκα, τὰ δὲ σύμπαντα σὺν οἷς ὁ πατὴρ ἦρξεν ἑνὸς δεῖ πεντήκοντα.

XX. καταλυθείσης δὲ τῆς τυραννίδος, ἐστασίαζον πρὸς ἀλλήλους Ἰσαγόρας ὁ Τεισάνδρου φίλος ὢν τῶν τυράννων, καὶ Κλεισθένης τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν. ἡττώμενος δὲ ταῖς ἑταιρείαις ὁ Κλεισθένης, προσηγάγετο τὸν δῆμον, ἀποδιδοὺς τῷ πλήθει τὴν πολιτείαν. ὁ δὲ Ἰσαγόρας ἐπιλειπόμενος τῇ δυ- 2
νάμει, πάλιν ἐπικαλεσάμενος τὸν Κλεομένην ὄντα ἑαυτῷ ξένον, συνέπεισεν ἐλαύνειν τὸ ἄγος, διὰ τὸ τοὺς Αλκμεωνίδας δοκεῖν εἶναι τῶν ἐναγῶν. ὑπεξελθόντος 3
δὲ τοῦ Κλεισθένους, <ἀφικόμενος ὁ Κλεομένης> μετ'

---

TESTIM. 13 *schol. Ar. Vesp. 502, ubi leg. Ἀριστοτέλους μὲν τετταράκοντα καὶ ἓν φήσαντος.

---

3 Κ(ΑΤΑ)ΚΛΕΙCΑC. 6 ΕΠΕΞΙΟΝΤΑC, corr. (Wyse, Condos, al.) W.-K., H.-L. Cf. Herod. 5, 65. 8 [[καὶ]] app. 10 ΑΡΠΑΚΙΔΟΥ (cf. Ἅρπακος Fick-Bechtel Personennamen p. 71) cum v. l. (ΑΡΠΑΚ)Τ(ΙΔΟΥ), app. 13 δεῖν (John Mayor, al.) W.-K.², K.³; cf. c. 27, 2. Rhet. 1390 b 11 (Kb.). 16 sq. ΑΛΚΜΕΟΝ, it. 37, 15. 17 ΗΤΤΗΜ(ΕΝ)ΟC, corr. (Bl., Lacon) W.-K., H.-L., K.³ 19 ἀπολειπόμ. (Wyse, al.) H.-L. Cf. c. 27, 4. 34, 3. 23 <ἀφικόμενος ὁ Κλεομένης> W.-K. ex Hdt. 5, 70 (Κλεομένης post Κλεισθ. add. Papageorg.). V. app.

*ὀλίγων, ἁγηλατεῖ τῶν Ἀθηναίων ἑπτακοσίας οἰκίας·
ταῦτα δὲ διαπραξάμενος, τὴν μὲν βουλὴν ἐπειρᾶτο
καταλύειν, Ἰσαγόραν δὲ καὶ τριακοσίους τῶν φίλων
μετ' αὐτοῦ κυρίους καθιστάναι τῆς πόλεως. τῆς δὲ
βουλῆς ἀντιστάσης καὶ συναθροισθέντος τοῦ πλήθους,
οἱ μὲν περὶ τὸν Κλεομένην καὶ Ἰσαγόραν κατέφυγον
εἰς τὴν ἀκρόπολιν, ὁ δὲ δῆμος δύο μὲν ἡμέρας προσ-
καθεζόμενος ἐπολιόρκει, τῇ δὲ τρίτῃ Κλεομένην μὲν
καὶ τοὺς μετ' αὐτοῦ πάντας ἀφίεσαν ὑποσπόνδους,
Κλεισθένην δὲ καὶ τοὺς ἄλλους φυγάδας μετεπέμψαντο.*
4 *κατασχόντος δὲ τοῦ δήμου τὰ πράγματα, Κλεισθένης
ἡγεμὼν ἦν καὶ τοῦ δήμου προστάτης. αἰτιώτατοι γὰρ
σχεδὸν ἐγένοντο τῆς ἐκβολῆς τῶν τυράννων οἱ Ἀλ-*
5 *κμεωνίδαι, καὶ στασιάζοντες τὰ πολλὰ διετέλεσαν. ἔτι
δὲ πρότερον τῶν Ἀλκμεωνιδῶν Κήδων ἐπέθετο τοῖς
τυράννοις, διὸ καὶ ᾖδον καὶ εἰς τοῦτον ἐν τοῖς σκολιοῖς·*

*ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,*
*εἰ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.*

XXI. *διὰ μὲν οὖν ταύτας τὰς αἰτίας ἐπίστευεν ὁ
δῆμος τῷ Κλεισθένει. τότε δὲ τοῦ πλήθους προεστη-
κώς, ἔτει τετάρτῳ μετὰ τὴν τῶν τυράννων κατάλυσιν,*
508/7 2 *ἐπὶ Ἰσαγόρου ἄρχοντος, πρῶτον μὲν συνένειμε πάντας
εἰς δέκα φυλὰς ἀντὶ τῶν τεττάρων, ἀναμεῖξαι βουλό-
μενος, ὅπως μετάσχωσι πλείους τῆς πολιτείας· ὅθεν
ἐλέχθη καὶ τὸ μὴ φυλοκρινεῖν, ‖ πρὸς τοὺς ἐξετάζειν* pag. 9

---

1 *ἡγηλάτει*, correxi ex Hdt. 5, 72. 4 Μ(ΕΤΑ)ΤΟΥ, corr. K. (*αὐτοῦ* sine *μετ'* Papabasileiu). 9 *ἀφεῖσαν* W.-K. (app.). 14 *ἀντιστασ.* H.-L.; *στασ.* ⟨*πρὸς τούτους*⟩ Gennadios, it. sed *αὐτοὺς* Kb., qui conf. Andoc. 2, 26. 19 *ἐπίστευεν*] indicata est v. l. (*ἐπίστευ*)*ο*(*ν*), qua recepta secl. *ὁ δῆμος* (Rutherf., Bury) W.-K. Cf. c. 35, 3. 22 Ο(ΥΝ)ΕΝΕΙΜΕ, corr. (Newman, Condos, al.) H.-L., coll. c. 41, 2; *οὖν* ⟨*συν*⟩*ένειμε* cum lac. ante *πρῶτον* W.-K., Hude (coll. Polit. III, 2 p. 1275 b 36; v. Wil. I, 6. 31; Bethe p. 5 sqq.).

τὰ γένη βουλομένους. ἔπειτα τὴν βουλὴν πεντακοσίους 3
ἀντὶ τετρακοσίων κατέστησεν, πεντήκοντα ἐξ ἑκάστης
⟨τῆς⟩ φυλῆς· τότε δ' ἦσαν ἑκατόν. διὰ τοῦτο δὲ οὐκ
εἰς δώδεκα φυλὰς συνέταξεν, ὅπω[ς] αὐτῷ μὴ συμ-
βαίνῃ μερίζειν κατὰ τὰς προϋπαρχούσας τριττῦς·
ἦσαν γὰρ ἐκ δ' φυλῶν δώδεκα τριττύες· ὥστ' οὐ
[συν]έπιπτε ἀναμίσγεσθαι τὸ πλῆθος. διένειμε δὲ 4
καὶ τὴν χώραν κατὰ δήμους τριάκοντα μέρη, δέκα μὲν
τῶν περὶ τὸ ἄστυ, δέκα δὲ τῆς παραλίας, δέκα δὲ τῆς
μεσογείου, καὶ ταύτας ἐπονομάσας τριττῦς, ἐκλήρωσεν
τρεῖς εἰς τὴν φυλὴν ἑκάστην, ὅπως ἑκάστη μετέχῃ πάν-
των τῶν τόπων. καὶ δημότας ἐποίησεν ἀλλήλων τοὺς
οἰκοῦντας ἐν ἑκάστῳ τῶν δήμων, ἵνα μὴ πατρόθεν
προσαγορεύοντες ἐξελέγχωσιν τοὺς νεοπολίτας, ἀλλὰ
τῶν δήμων ἀναγορεύωσιν· ὅθεν καὶ καλοῦσιν Ἀθηναῖοι
σφᾶς αὐτοὺς τῶν δήμων. κατέστησε δὲ καὶ δημάρχους, 5
τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκρά-
ροις· καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν
ἐποίησεν. προσηγόρευσε δὲ τῶν δήμων τοὺς μὲν ἀπὸ
τῶν τόπων, τοὺς δὲ ἀπὸ τῶν κτισάντων· οὐ γὰρ ἅπαν-
τες ὑπῆρχον ἐν τοῖς τόποις. τὰ δὲ γένη καὶ τὰς φρα- 6
τρίας καὶ τὰς ἱερωσύνας εἴασεν ἔχειν ἑκάστους κατὰ τὰ

TESTIM. 13 Psellus ὀνόμ. δικ. 103 Boiss. 16 κατέστ. — 19 ἐποίησεν *schol. Arist. Nub. 37, *Harp. ναυκραρικά (cf. δήμαρχος). Hesych. δήμαρχοι. 19 Et. M. 327, 32.

3 addidi ⟨τῆς⟩ (app.). 3 sq. ΟΥΚ(ΑΙ)ЄΙC sec. Wn. 4 ΑΥΤΩ-CYMB; supra v. (v. l.) ab ead. ·Ι· (αὐτῶι), tum MH ab al. 5 κατὰ] πρὸς pr. 6 ἐκ ⟨τῶν⟩ τεττ. coll. § 2 Papageorg. ..ЄΠЄΙΠΤЄΝ. ἂν ante ἀναμίσγ. add. (Hude) W.-K.; οὐκ ⟨ἂν⟩ συν. (Richards) H.-L. (app.). 9 τῆς περὶ Papageorg. 21 ΥΠΗΡΧΟΝЄΝ et Berolin. et Londin., non ὑπ. ἔτι; illud (Bl$^{1.2.3}$) et W.-K.$^{3}$, qui adn. „ἐν suspectum". V. app. „Non omnes demi erant inter vicos qui iam extabant; itaque multos ab heroibus appellavit." Exemplo est Ἀραφήν, εἷς τῶν ἑκατὸν ἡρώων, Herodian. 2, 923 L., Haussoullier Rev. de philol. XVI, 167.

*πάτρια. ταῖς δὲ φυλαῖς ἐποίησεν ἐπωνύμους ἐκ τῶν
προκριθέντων ἑκατὸν ἀρχηγετῶν, οὓς ἀνεῖλεν ἡ Πυθία
δέκα.*

XXII. *τούτων δὲ γενομένων δημοτικωτέρα πολὺ
τῆς Σόλωνος ἐγένετο ἡ πολιτεία· καὶ γὰρ συνέβη τοὺς
μὲν Σόλωνος νόμους ἀφανίσαι τὴν τυραννίδα διὰ τὸ
μὴ χρῆσθαι, και[ν]οὺς δ' ἄλλους θεῖναι τὸν Κλεισθένη
στοχαζόμενον τοῦ πλήθους, ἐν οἷς ἐτέθη καὶ ὁ περὶ*
2 *τοῦ ὀστρακισμοῦ νόμος. πρῶτον μὲν οὖν ἔτει *ὀγδόῳ
μετὰ ταύτην τὴν κατάστασιν, ἐφ' Ἑρμοκρέοντος ἄρχον-
τος, τῇ βουλῇ τοῖς πεντακοσίοις τὸν ὅρκον ἐποίησαν,
ὃν ἔτι καὶ νῦν ὀμνύουσιν. ἔπειτα τοὺς στρατηγοὺς
ᾑροῦντο κατὰ φυλάς, ἐξ ἑκάστης ⟨τῆς⟩ φυλῆς ἕνα, τῆς*
3 *δὲ ἁπάσης στρατιᾶς ἡγεμὼν ἦν ὁ πολέμαρχος. ἔτει δὲ
μετὰ ταῦτα δωδεκάτῳ νικήσαντες τὴν ⟦ἐν⟧ Μαραθῶνι*
490/89 *μάχην, ἐπὶ Φαινίππου ἄρχοντος, διαλιπόντες ἔτη δύο*
488/7 *μετὰ τὴν νίκην, θαρροῦντος ἤδη τοῦ δήμου, τότε
πρῶτον ἐχρήσαντο τῷ νόμῳ τῷ περὶ τὸν ὀστρακισμόν,
ὃς ἐτέθη διὰ τὴν ὑποψίαν τῶν ἐν ταῖς δυνάμεσιν, ὅτι
Πεισίστρατος δημαγωγὸς καὶ στρατηγὸς ὢν τύραννος*
4 *κατέστη. καὶ πρῶτος ὠστρακίσθη τῶν ἐκείνου συγγε-
νῶν Ἵππαρχος Χάρμου Κολλυτεύς, δι' ὃν καὶ μάλιστα*

---

TESTIM. 2 Et. M. 369, 15 et lex. Patm. Demosth. p. 15 sq. ed. Sakk. 21 sq. cf. Harpocr. *Ἵππαρχος*, ubi Androtion laudatur.

---

Audacter (Bury) H.-L.: *ἅπασιν ὑπῆρχεν ὀνόματα τ. τ.* ΦΑΤΡΙΑC Londin., ΦΡΑΤΡΙΑC Berol., K. Cf. Meisterh. 63$^{2}$. 7 ΧΡΑCΘΑΙ Berol. ΚΑΙ | — — Berol., Κ(ΑΙ).ΟΥC Londin., *καινοὺς* recte W.-K., K.$^{3}$ *Κλεισθένην* K.$^{1}$, S. 9 *ὀγδόῳ* K.: ΠΕΜΠΤΩΙ (app.). 10 ΕΡΜΟΥ|ΚΡ 13 addidi *τῆς* (…*φυ*]*λῆς ἑκάστ*[*ης* Berol.), app. 15 ⟦*ἐν*⟧ app. 16 *διαλιπόντες* recte (Wyse) W.-K., H.-L. 17 *ἤδη* supra v. ab al. m. 18 sq. *περὶ τὸν ὀ-όν*] cf. S., Harpocr. v. *Ἵππαρχος*. 19 *ὅτι* K. (coll. Harpocr. l. c.): ΟΤΕ (*ὁ γὰρ* W.-K.). 22 ΚΟΛΥΤΤΕΥC, corr. W.-K.

τὸν νόμον ἔθηκεν ὁ Κλεισθένης, ἐξελάσαι βουλόμενος
αὐτόν. οἱ γὰρ Ἀθηναῖοι τοὺς τῶν τυράννων φίλους,
ὅσοι μὴ συνεξημάρτανον ἐν ταῖς ταραχαῖς, εἴων
οἰκεῖν τὴν πόλιν, χρώμενοι τῇ εἰωθυίᾳ τοῦ δήμου
πρᾳότητι· ὧν ἡγεμὼν καὶ προστάτης ἦν Ἵππαρχος.
εὐθὺς δὲ τῷ ὑστέρῳ ἔτει, ἐπὶ Τελεσίνου ἄρχοντος, 5
ἐκυάμευσαν τοὺς ἐννέα ἄρχοντας κατὰ φυλάς, ἐκ τῶν 487/6
προκριθέντων ὑπὸ τῶν δημοτῶν πεντακοσίων, *τότε
μετὰ τὴν τυραννίδα πρῶτον· οἱ δὲ πρότεροι πάντες
ἦσαν αἱρετοί. καὶ ὠστρακίσθη Μεγακλῆς Ἱπποκράτους
Ἀλωπεκῆθεν. ἐπὶ μὲν οὖν ἔτη γ' τοὺς τῶν τυράννων 6
φίλους ὠστράκιζον, ὧν χάριν ὁ νόμος ἐτέθη, μετὰ δὲ
ταῦτα τῷ τετάρτῳ ἔτει καὶ τῶν ἄλλων εἴ τις δοκοίη 485/4
μείζων εἶναι μεθίστατο· καὶ πρῶτος ὠστρακίσθη τῶν
ἄπωθεν τῆς τυραννίδος Ξάνθιππος ὁ Ἀρίφρονος. ἔτει 7
δὲ τρίτῳ μετὰ ταῦτα Νικομήδους ἄρχοντος, ὡς ἐφάνη 483/2
τὰ μέταλλα τὰ ἐν Μαρωνείᾳ, καὶ περιεγένετο τῇ πόλει
τάλαντα ἑκατὸν ἐκ τῶν ἔργων, συμβουλευόντων τινῶν
τῷ δήμῳ διανείμασθαι τὸ ἀργύριον, Θεμιστοκλῆς ἐκώ-
λυσεν, οὐ λέγων ὅ τι χρήσεται τοῖς χρήμασι, ἀλλὰ
δανεῖσαι κελεύων τοῖς πλουσιωτάτοις Ἀθηναίων ἑκα-

TESTIM. 17 Bekk. An. 279, 32 *Μαρώνεια*.

3 CYNЄΞAMAPTANON; *συνεξημάρτ.* K. (ego ed. 1), *συνεξαμαρτάνοιεν* Poste, H.-L., W.-K. 6. *ὕστερον* ut c. 34, 2 W.-K. 8 *τοῦ δήμου πεντακοσιομεδίμνων* H.-L. *τότε*] TOIC, em. (L., Bl., al.) W.-K., H.-L. 10 *Μεγ. κτἑ.*] cf. C. I. Att. IV, 3 nr. 569. 11 sq. *τυράννων φίλους*] de Megacle cf. Hdt. 6, 115. 121. 14 *μεθίσταντο* v. l. in chart., quam rec. plerique (app.). 15 *Ξάνθιππος*] v. C. I. Att. IV, 3, 570 sq. (ubi *Ἀρρίφρ.* scriptum). 17 ⟨*ἐπὶ*⟩ *Νικομ.* Papageorg., sicut est ceteris locis omnibus (praeter p. 41, 8, ubi postponitur nomen). *Νικοδήμου* Berol. (Dionys. Hal. 8, 83) K. V. app. 18 *τάλαντα* supra v. (ab ead.) Lond.; in Ber. vid. fuisse [*περιεγ. τοῖς κεκτη-*[*μένοις*] *ἑκατ*[*ὸν τάλαντα, συμβ. κτἑ.* 19 *τῷ δήμῳ*] it. Berol. quoque habuisse vid., non *τῇ πόλει*. 20 -CIN.

τὸν ἑκάστῳ τάλαντον, εἶτ' ἐὰν μὲν ἀρέσκῃ τὸ ἀνάλωμα
τῆς πόλεως εἶναι τὴν δαπάνην, εἰ δὲ μὴ κομίσασθαι
τὰ χρήματα παρὰ τῶν δανεισαμένων. λαβὼν δ' ἐπὶ
τούτοις ἐναυπηγήσατο τριήρεις ἑκατόν, ἑκάστου ναυ-
πηγουμένου τῶν ἑκατὸν μίαν, αἷς ἐναυμάχησαν ἐν Σα-
λαμῖνι πρὸς τοὺς βαρβάρους. ὠστρακίσθη δ' ἐν τού-
8 τοις τοῖς καιροῖς Ἀριστείδης ὁ Λυσιμάχου. τετάρτῳ δ'
482/1 ἔτει κατεδέξαντο πάντας τοὺς ὠστρακισμένους ἄρχον-
τος Ὑψιχίδου, διὰ τὴν Ξέρξου στρατιάν· καὶ τὸ λοιπὸν
ὥρισαν τοῖς ὀστρακιζομένοις, *ἐκτὸς Γεραιστοῦ καὶ Σκυλ-
λαίου κατοικεῖν, ἢ ἀτίμους εἶναι καθάπαξ.

XXIII. τότε μὲν οὖν μέχρι τούτου προῆλθεν ἡ
πόλις, ἅμα τῇ δημοκρατίᾳ κατὰ μικρὸν αὐξανομένη·
μετὰ δὲ τὰ Μηδικὰ πάλιν ἴσχυσε ἡ ἐν Ἀρείῳ πάγῳ
βουλὴ καὶ διῴκει τὴν πόλιν, οὐδενὶ δόγματι λαβοῦσα
τὴν ἡγεμονίαν, ἀλλὰ διὰ τὸ γενέσθαι τῆς περὶ Σαλα-
μῖνα ναυμαχίας αἰτία. τῶν γὰρ στρατηγῶν ἐξαπορη-
σάντων τοῖς πράγμασι, καὶ κηρυξάντων σῴζειν ἕκαστον
ἑαυτόν, πορίσασα δραχμὰς ἑκάστῳ ὀκτώ, διέδωκε
2 καὶ ἐνεβίβασεν εἰς τὰς ναῦς. διὰ ταύτην δὴ τὴν αἰτίαν
παρεχώρουν αὐτῆς τῷ ἀξιώματι, καὶ ἐπολιτεύθησαν
Ἀθηναῖοι καλῶς καὶ κατὰ τούτους τοὺς καιρούς. συν-

TESTIM. 16 *Plut. Them. 10.

1 ЄAN. 2 τὴν δαπάνην supra v. (ab al. m.) Londin., del. H.-L., post ἀρέσκῃ interpungentes (hoc quidem parum recte). Habuisse vid. τὴν δαπ. etiam Berol. (app.). 7 τρίτῳ W.-K. (coll. Plut. Arist. 8; app.). 9 ΥΨΗΧΙΔΟΥ chart., cum v. l. ab ead. m. (Ὑψ)ι(χίδου) (K., W.-K.); app. Cf. Wolfg. Meyer de cod. Plut. Seitenst. p. 37. στρατείαν omnes contra chart.; sed v. Meisterh. p. 43² (S.), Aristoph. Eq. 586 al.; app. 10 ἐκτὸς Wyse: ЄNTOC (sec. lex. rhet. v. ὀστρακισμοῦ τρόπος [Sandys] ἐντὸς . . ⟨μὴ⟩ Kb.; app.). 11 ἀτίμοις Hude. 12 τότε] τὸ (Poste) H.-L. 14 -CЄN. 19 ἑκάστῳ τῶν στρατευομένων sec. Plut. Them. 10? (app.) 21 AYT(HN), corr. (Ruth., Bl.) H.-L. 22 καὶ del. Poland, Radinger, W.-K. (ci. K.), app.

ἔβη γὰρ αὐτοῖς περὶ τὸν χρόνον τοῦτον τά τε εἰς τὸν
πόλεμον ἀσκῆσαι, καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμῆσαι,
καὶ τὴν τῆς θαλάττης ἡγεμονίαν λαβεῖν, ἀκόντων τῶν
Λακεδαιμονίων. ἦσαν δὲ προστάται τοῦ δήμου κατὰ 3
τούτους τοὺς καιροὺς Ἀριστείδης ὁ Λυσιμάχου καὶ
Θεμιστοκλῆς ὁ Νεοκλέους, ὁ μὲν τὰ πολέμια *δοκῶν,
ὁ δὲ τὰ *πολιτικὰ δεινὸς εἶναι καὶ δικαιοσύνῃ τῶν
καθ' ἑαυτὸν διαφέρειν· διὸ καὶ ἐχρῶντο τῷ μὲν στρα-
τηγῷ, τῷ δὲ συμβούλῳ. τὴν μὲν οὖν τῶν τειχῶν ἀνοι- 4
κοδόμησιν κοινῇ διῴκησαν, καίπερ διαφερόμενοι πρὸς
ἀλλήλους, ἐπὶ δὲ τὴν ἀπόστασιν τὴν τῶν Ἰώνων *ἀπὸ
τῆς τῶν Λακεδαιμονίων συμμαχίας Ἀριστείδης ἦν ὁ
προτρέψας, τηρήσας τοὺς Λάκωνας διαβεβλημένους διὰ
Παυσανίαν. διὸ καὶ τοὺς φόρους οὗτος ἦν ὁ τάξας 5
ταῖς πόλεσι τοὺς πρώτους, ἔτει τρίτῳ μετὰ τὴν ἐν
Σαλαμῖνι ναυμαχίαν, ἐπὶ Τιμοσθένους ἄρχοντος, καὶ 478/7
pag. 10 τοὺς ὅρκους ὤμοσε τοῖς Ἴωσι, ‖ ὥστε τὸν αὐτὸν ἐχθρὸν
εἶναι καὶ φίλον, ἐφ' οἷς καὶ τοὺς μύδρους ἐν τῷ πε-
λάγει καθεῖσαν.

XXIV. μετὰ δὲ ταῦτα θαρρούσης ἤδη τῆς πόλεως,
καὶ χρημάτων ἠθροισμένων πολλῶν, συνεβούλευεν ἀντι-
λαμβάνεσθαι τῆς ἡγεμονίας, καὶ καταβάντας ἐκ τῶν
ἀγρῶν οἰκεῖν ἐν τῷ ἄστει· τροφὴν γὰρ ἔσεσθαι πᾶσι,

---

1 ΠЄ[ΡΙ] corr. (ab al. m.): Κ(ΑΤΑ) (hoc K. al.). *περὶ .. τοῦτον* del. W.-K. (app.). 3 *ἑκόντων* Jos. Mayor, Gennadios, *εἰκόντων* (Naber) H.-L. 6 *πολεμικὰ* Bl.[1], al. (cf. c. 2, 2). *δοκῶν* (Richards, Lipsius, Condos, al.) H.-L., W.-K.[2. 3]: ΑCΚΩΝ (K. *δοκῶν* post *εἶναι* inser.). Videtur *ἀσκῶν* e v. 2 invectum esse; app. 7 ΠΟΛЄΜΙΚΑ. 8 *καὶ* add. m. 2. 9 sq. ΑΝΩΙ-ΚΟΔ. 11 ΙΩΝΩΝΚ(ΑΙ)Τ(ΗΝ)Τ(ΩΝ) — CΥΜΜΑΧΙΑΝ, corr. (Bl., H., Condos) W.-K., H.-L. 13 *τοὺς Λακ.* supra v. 15 -CΙΝ. Δ(ΙΑ)Τ(ΗΝ) pr. 17 ΩΜΟCЄΝ. 21 *μὲν* post *χρημ.* pr., del. m. 2 (Wn.). *ἠθρ. πολλῶν* corr., qui litteras Β Α superscr. (K.); rec. W.-K.[3]: ΠΟΛΛΩΝΗΘΡ.

τοῖς μὲν στρατευομένοις, τοῖς δὲ φρουροῦσι, τοῖς δὲ τὰ κοινὰ πράττουσι· εἶθ' οὕτω κατασχήσειν τὴν ἡγε-
2 μονίαν. πεισθέντες δὲ ταῦτα καὶ λαβόντες τὴν ἀρχὴν τοῖς [[τε]] συμμάχοις δεσποτικωτέρως ἐχρῶντο, πλὴν Χίων καὶ Λεσβίων καὶ Σαμίων· τούτους δὲ φύλακας εἶχον τῆς ἀρχῆς ἐῶντες τάς τε πολιτείας παρ' αὑτοῖς,
3 καὶ ἄρχειν ὧν ἔτυχον ἄρχοντες. κατέστησαν δὲ καὶ τοῖς πολλοῖς εὐπορίαν τροφῆς, ὥσπερ Ἀριστείδης εἰσηγήσατο. συνέβαινεν γὰρ ἀπὸ τῶν φόρων καὶ τῶν τελῶν καὶ τῶν συμμάχων πλείους ἢ δισμυρίους ἄνδρας τρέφεσθαι. δικασταὶ μὲν γὰρ ἦσαν ἑξακισχίλιοι, τοξόται δ' ἑξακόσιοι καὶ χίλιοι, καὶ πρὸς τούτοις ἱππεῖς χίλιοι καὶ διακόσιοι, βουλὴ δὲ πεντακόσιοι, καὶ φρουροὶ νεωρίων πεντακόσιοι, καὶ πρὸς τούτοις ἐν [[τῇ]] πόλει φρουροὶ ν', ἀρχαὶ δ' ἔνδημοι μὲν εἰς ἑπτακοσίους ἄνδρας, ὑπερόριοι δ' εἰς † ἑπτακοσίους· πρὸς δὲ τούτοις ἐπεὶ συνεστήσαντο τὸν πόλεμον ὕστερον, ὁπλῖται μὲν δισχίλιοι καὶ πεντακόσιοι, νῆες δὲ φρουρίδες εἴκοσι, ἄλλαι δὲ νῆες αἱ τοὺς φρουροὺς ἄγουσαι τοὺς ἀπὸ τοῦ κυάμου δισχιλίους ἄνδρας· ἔτι δὲ πρυτανεῖον καὶ ὀρφανοὶ καὶ δεσμωτῶν φύλακες· ἅπασι γὰρ τούτοις ἀπὸ τῶν κοινῶν ἡ διοίκησις ἦν.

XXV. ἡ μὲν οὖν τροφὴ τῷ δήμῳ διὰ τούτων ἐγί-
463 γνετο. ἔτη δ' ἑπτακαίδεκα μάλιστα μετὰ τὰ Μηδικὰ διέμεινεν ἡ πολιτεία προεστώτων τῶν Ἀρεοπαγιτῶν,

---

4 seclusi τε (W.-K.$^3$ post ἄρχοντες v. 7 inserunt ⟨καὶ — —⟩, dictum fuisse rati de cleruchis). V. app. 6 πολ. ⟨τὰς⟩ W.-K. (Papabasileiu). 9 φόρων] εἰσφορῶν male (Whibley) H.-L. 10 καὶ τῶν συμμ.] φρουροί dici videntur. Cf. Wil. II, 207.
14 τῇ secl. W.-K. 15 Μ(ΕΝ)ΗϹΑΝΕΙϹ. 16 sq. „numerus e v. 15 male repetitus" W.-K. 17 ὁπλῖται] qui continuo in praesidiis erant. 19 ΦΟΡΟΥϹ, corr. Bl., v. L., Lacon, coll. c. 62, 1.
22 διασίτησις H.-L. (refutat Lacon). 25 ⟨τῶν⟩ (Wn.) W.-K.$^3$, sed esse in charta τ(ῶν) affirmat K.

καίπερ ὑποφερομένη κατὰ μικρόν. αὐξανομένου δὲ τοῦ
πλήθους, γενόμενος τοῦ δήμου προστάτης Ἐφιάλτης ὁ
pag. 11 Σοφωνίδου, ‖ δοκῶν καὶ ἀδωροδόκητος εἶναι καὶ δίκαιος
πρὸς τὴν πολιτείαν, ἐπέθετο τῇ βουλῇ. καὶ πρῶτον 2
μὲν ἀνεῖλεν πολλοὺς τῶν Ἀρεοπαγιτῶν, ἀγῶνας ἐπι-
φέρων περὶ τῶν διῳκημένων· ἔπειτα τῆς βουλῆς ἐπὶ 462/1
Κόνωνος ἄρχοντος ἅπαντα περιεῖλε τὰ ἐπίθετα, δι'
ὧν ἦν ἡ τῆς πολιτείας φυλακή, καὶ τὰ μὲν τοῖς πεντα-
κοσίοις, τὰ δὲ τῷ δήμῳ καὶ τοῖς δικαστηρίοις ἀπέδωκεν.
ἔπραξε δὲ ταῦτα συναιτίου γενομένου Θεμιστοκλέους, 3
ὃς ἦν μὲν τῶν Ἀρεοπαγιτῶν, ἔμελλε δὲ κρίνεσθαι μη-
δισμοῦ. βουλόμενος δὲ καταλυθῆναι τὴν βουλὴν ὁ
Θεμιστοκλῆς, πρὸς μὲν τὸν Ἐφιάλτην ἔλεγεν ὅτι συναρ-
πάζειν αὐτὸν ἡ βουλὴ μέλλει, πρὸς δὲ τοὺς Ἀρεοπα-
γίτας, ὅτι δείξει τινὰς συνισταμένους ἐπὶ καταλύσει
τῆς πολιτείας. ἀγαγὼν δὲ τοὺς αἱρεθέντας τῆς βουλῆς
οὗ διέτριβεν ὁ Ἐφιάλτης, ἵνα δείξῃ τοὺς ἀθροιζομέ-
νους, διελέγετο μετὰ σπουδῆς αὐτοῖς. ὁ δ' Ἐφιάλτης 4
ὡς εἶδεν καταπλαγείς, καθίζει μονοχίτων ἐπὶ τὸν βωμόν.
θαυμασάντων δὲ πάντων τὸ γεγονός, καὶ μετὰ ταῦτα
συναθροισθείσης τῆς βουλῆς τῶν πεντακοσίων, κατη-
γόρουν τῶν Ἀρεοπαγιτῶν ὅ τ' Ἐφιάλτης καὶ ⟨ὁ⟩ Θε-
μιστοκλῆς, καὶ πάλιν ἐν τῷ δήμῳ τὸν αὐτὸν τρό-
πον, ἕως παρεῖλον αὐτῶν τὴν δύναμιν. ⟦καὶ⟧ ἀνη-

---

TESTIM. 9 *argum. Isocr. Areop. (schol. Aesch. et Isocr. ed. Dind. 111).

---

3 δοκῶν καὶ (ci. Kb.) W.-K.³: καὶ δοκῶν (del. ci. καὶ H.-L.). Cf. p. 27, 2 (app.). 5 ἀνεῖλεν] cf. Dem. 19, 2 al. 7 περιείλετο (Richards) W.-K., K.³; cf. p. 28, 6; infra v. 24 (παρείλετο H.-L., ut est p. 46, 11). 10 -ΞΕ; ἔπραττε falso K. (-ξε et. W.-K.³).
16 ΤΟΥϹΑΦΑΙΡ, corr. (K.) W.-K. (ἐφαιρ. H.-L.). 17 οὗ] οἷ H.-L. 22 ⟨ὁ⟩ (Condos) W.-K., H.-L. 24 ΠΕΡΕΙΛΟΝ, ΤΟ add. corr.; inde περιείλοντο K., W.-K., παρείλοντο Condos, H.-L.
καὶ post δύν. del. (Jos. Mayor, Bl.) H.-L.; lac. (καὶ ⟨ὁ μὲν

462/1 *ρέθη δὲ καὶ ὁ Ἐφιάλτης δολοφονηθεὶς μετ' οὐ πολὺν χρόνον, δι' Ἀριστοδίκου τοῦ Ταναγραίου.*

XXVI. *ἡ μὲν οὖν τῶν Ἀρεοπαγιτῶν βουλὴ τοῦτον τὸν τρόπον ἀπεστερήθη τῆς ἐπιμελείας. μετὰ δὲ ταῦτα συνέβαινεν ἀνίεσθαι μᾶλλον τὴν πολιτείαν, διὰ τοὺς προθύμως δημαγωγοῦντας. κατὰ γὰρ τοὺς καιροὺς τούτους συνέπεσε, μηδ' ἡγεμόνα ἔχειν τοὺς ἐπιεικεστέρους, ἀλλ' αὐτῶν προεστάναι Κίμωνα τὸν Μιλτιάδου,* **νωθρὸν ὄντα καὶ πρὸς τὴν πόλιν ὀψὲ προσελθόντα, πρὸς δὲ τούτοις ἐφθάρθαι τοὺς πολλοὺς κατὰ πόλεμον· τῆς γὰρ στρατείας γιγνομένης ἐν τοῖς τότε χρόνοις ἐκ καταλόγου, καὶ στρατηγῶν ἐφισταμένων ἀπείρων μὲν τοῦ πολεμεῖν, τιμωμένων δὲ διὰ τὰς πατρικὰς δόξας, αἰεὶ συνέβαινεν τῶν ἐξιόντων ἀνὰ δισχιλίους ἢ τρισχιλίους ἀπόλλυσθαι, ὥστε ἀναλίσκεσθαι τοὺς ἐπιεικεῖς καὶ τοῦ*

2 *δήμου καὶ τῶν εὐπόρων. τὰ μὲν οὖν ἄλλα πάντα διῴκουν οὐχ ὁμοίως καὶ πρότερον τοῖς νόμοις προσέχοντες, τὴν δὲ τῶν ἐννέα ἀρχόντων αἵρεσιν οὐκ ἐκίνουν, ἀλλ' ἕκτῳ ἔτει μετὰ τὸν Ἐφιάλτου θάνατον ἔγνωσαν καὶ ἐκ ζευγιτῶν προκρίνεσθαι τοὺς κληρωσομένους τῶν ἐννέα ἀρχόντων, καὶ πρῶτος ἦρξεν ἐξ* 457/6 *αὐτῶν Μνησιθείδης. οἱ δὲ πρὸ τούτου πάντες ἐξ ἱππέων καὶ πεντακοσιομεδίμνων ἦσαν, οἱ ⟨δὲ⟩ ζευγῖται τὰς ἐγκυκλίους ἦρχον, εἰ μή τι παρεωρᾶτο τῶν ἐν*

---

TESTIM. 1 *Plut. Per. 10.

---

*Θεμ.* — —⟩) statuunt W.-K., S. (app.). 7 *ἔχειν ⟨σπουδαῖον⟩* Gennadios. 8 sq. ΝΕΩΤΕΡΟΝ (*νωθρότερον* ci. Condos, W.-K., *ἐνεώτερον* (hiat.) s. *νωθέστερον* Weil; app.). 19 *ἀλλ' ⟨ἢ⟩* (Bl.) H.-L. Cf. app. 23 *⟨δὲ⟩* K. (app.). 24 *ὑπὸ τῶν δήμων* post *παρεωρᾶτο* om. K., ut a pr. tantum m. in chart. exstantia; cum Patone rec. H.-L., falso non deleta esse rati sed casu oblitterata. Casu vel errore haec non orta, sed ex lectione varia, cf. p. 40, 7 sq., app.

*τοῖς νόμοις. ἔτει δὲ πέμπτῳ μετὰ ταῦτα ἐπὶ Λυσι-* 3 453/2
*κράτους ἄρχοντος, οἱ τριάκοντα δικασταὶ κατέστησαν*
*πάλιν, οἱ καλούμενοι κατὰ δήμους· καὶ τρίτῳ μετ'* 451/0
*αὐτὸν ἐπὶ Ἀντιδότου διὰ τὸ πλῆθος τῶν πολιτῶν*
*Περικλέους εἰπόντος ἔγνωσαν, μὴ μετέχειν τῆς πόλεως,*
*ὃς ἂν μὴ ἐξ ἀμφοῖν ἀστοῖν ᾖ γεγονώς.*

XXVII. *μετὰ δὲ ταῦτα πρὸς τὸ δημαγωγεῖν ἐλθόντος* 451/50
*Περικλέους, καὶ πρῶτον εὐδοκιμήσαντος, ὅτε κατηγό-*
*ρησε τὰς εὐθύνας Κίμωνος στρατηγοῦντος νέος ὤν,*
*δημοτικωτέραν ἔτι συνέβη γενέσθαι τὴν πολιτείαν. καὶ*
*γὰρ τῶν Ἀρεοπαγιτῶν ἔνια παρείλετο, καὶ μάλιστα*
*προύτρεψεν τὴν πόλιν ἐπὶ τὴν ναυτικὴν δύναμιν, ἐξ*
*ἧς συνέβη θαρρήσαντας τοὺς πολλούς, ἅπασαν τὴν*
*πολιτείαν μᾶλλον ἄγειν εἰς αὑτούς. μετὰ δὲ τὴν ἐν* 2
*Σαλαμῖνι ναυμαχίαν ἑνὸς δεῖ πεντηκοστῷ ἔτει, ἐπὶ* 431/2
*Πυθοδώρου ἄρχοντος, ὁ πρὸς Πελοποννησίους ἐνέστη*
*πόλεμος, ἐν ᾧ κατακλησθεὶς ὁ δῆμος ἐν τῷ ἄστει, καὶ*
*συνεθισθεὶς ἐν ταῖς στρατιαῖς μισθοφορεῖν, τὰ μὲν*
*ἑκὼν τὰ δὲ ἄκων προῃρεῖτο τὴν πολιτείαν διοικεῖν*
*αὐτός. ἐποίησε δὲ καὶ μισθοφόρα τὰ δικαστήρια Περι-* 3
*κλῆς πρῶτος, ἀντιδημαγωγῶν πρὸς τὴν Κίμωνος εὐπο-*
*ρίαν. ὁ γὰρ Κίμων ἅτε τυραννικὴν ἔχων οὐσίαν, πρῶ-*
*τον μὲν τὰς κοινὰς λῃτουργίας ἐλῃτούργει λαμπρῶς,*
*ἔπειτα τῶν δημοτῶν ἔτρεφε τοὺς πολλούς· ἐξῆν γὰρ τῷ*

---

3 sq. *μετ' αὐτὸν*] superscr. (ab al. m.) v. l. (*μετὰ*) *το(ῦτον)*. Sec. numeros *αὐτὸν* verum: *οἱ . . δήμους* = *καὶ τρ. μετ' αὐτὸν ἐπ' Ἀντι-*, sicut *-δότου διὰ . . πο-* = *λιτῶν Περ. εἰπ.*, et *ἔγνωσαν . . ἀμ-* = *-φοῖν . . δημα-*. 6 *ᾖ*] HN. 8 ΠΡΩΤΟΥ, corr. (Bl., al.) W.-K., H.-L., K.[3] (*προτοῦ* L., Jackson). 10 ЄΤΙ cum v. l. (ab ead. m.) (*ἐ*)*π*(*ὶ*). 11 *περιείλετο* (ut c. 25, 2. 4) W.-K. 13 *ἅπασαν* (quod pro v. l. adscr.) W.-K.: *πᾶσαν*. 15 *δεῖν* (John Mayor, al.) W.-K.[1.2], K.[3], ut c. 19, 6. 16 *συνέστη* H.-L. 17 Κ(ΑΤΑ)ΚΛΙϹΘ, *-κλησθ*. W.-K., H.-L. 18 *στρατείαις* W.-K., H.-L., K.[3]; cf. c. 22, 8. 37, 1 (app.). 24 ΤΟΥϹ ante ΠΟΛ-

βουλομένῳ Λακιαδῶν, καθ' ἑκάστην τὴν ἡμέραν ἐλθόντι παρ' αὐτὸν ἔχειν τὰ μέτρια· ἔτι δὲ τὰ χωρία πάντα ἄφρακτα ἦν, ὅπως ἐξῇ τῷ βουλομένῳ τῆς ὀπώρας ἀπο-
4 λαύειν. πρὸς δὴ ταύτην τὴν χορηγίαν ἐπιλειπόμενος ὁ Περικλῆς τῇ οὐσίᾳ, συμβουλεύσαντος αὐτῷ Δαμωνίδου τοῦ Οἴηθεν (ὃς ἐδόκει τῶν πολλῶν εἰσηγητὴς εἶναι τῷ Περικλεῖ· διὸ καὶ ὠστράκισαν αὐτὸν ὕστερον), ἐπεὶ τοῖς ἰδίοις ἡττᾶτο, διδόναι τοῖς πολλοῖς τὰ ἑαυτῶν, κατεσκεύασε μισθοφορὰν τοῖς δικαστηρίοις· ἀφ' ὧν αἰτιῶνταί τινες χείρω γενέσθαι, κληρουμένων ἐπιμελῶς αἰεὶ μᾶλλον τῶν τυχόντων, ἢ τῶν ἐπιεικῶν ἀνθρώπων.
5 ἤρξατο δὲ μετὰ ταῦτα καὶ τὸ δεκάζειν, πρώτου καταδείξαντος *Ἀνύτου μετὰ τὴν ἐν Πύλῳ στρατηγίαν. κρινόμενος γὰρ ὑπό τινων διὰ τὸ ἀποβαλεῖν Πύλον, δεκάσας τὸ δικαστήριον ἀπέφυγεν.

XXVIII. ἕως μὲν οὖν Περικλῆς προειστήκει τοῦ δήμου, βελτίω τὰ κατὰ τὴν πολιτείαν ἦν, τελευτήσαντος δὲ Περικλέους πολὺ χείρω. πρῶτον γὰρ τότε προστάτην ἔλαβεν ὁ δῆμος οὐκ εὐδοκιμοῦντα παρὰ τοῖς ἐπιεικέσιν· ἐν δὲ τοῖς πρότερον χρόνοις ἀεὶ διετέλουν
2 οἱ ἐπιεικεῖς δημαγωγοῦντες. ἐξ ἀρχῆς μὲν γὰρ καὶ

---

TESTIM. 2 *Plut. Cim. 10. 5 *Plut. Per. 9, cf. ibid. 4 (Δάμων). 12 *Harp. δεκάζων. Bekk. An. 211, 31 (cf. 236, 6). schol. Aeschin. 1, 87.

---

ΛΟΥC pr. (dubitant num deletum sit H.-L., sed non recte; v. ad p. 45, 24; app.). 3 ЄΞΗΝ, corr. K. 4 ἀπολειπ. (Richards, Condos) H.-L. Cf. c. 20, 2. 34, 3. 5 ⟨Δάμωνος⟩ Δαμωνίδου Ὄαθεν Wyse (Steph. Byz. Ὄα); cf. Wil. Herm. XIV 318; Kb. 183. 6 ὃς] ΟΥC, sed vid. corr. (Wn., K.). πολλῶν recte W.-K., K.[3] 8 ἡττῷτο Sakorr. ΑΥΤΩΝ. 9 ΔΙΚΑCΤΑΙC, corr. (Bl., Richards) H.-L.; servant W.-K. scribentes χείρους v. 8 (Hude). V. Lit. Centralbl. 1893, 1713. ἀφ' οὗ (Richards) H.-L. Ἀφ' ὧν — τινες = -φορὰν τ. δικαστηρίοις. 11 ΑЄΙ. 13 Ἀνύτου K. ex Harp.: ΑΥΤΟΥ. 19 ΔΟΚΙΜΟΥΜЄΝΟΝΤΑ, superscr. (ead. m.) ΝΤΑ supra ΜЄΝ, unde -οῦντα (Wyse, Bl., al.) W.-K., H.-L., K.[3]

πρῶτος ἐγένετο προστάτης τοῦ δήμου Σόλων, δεύτερος δὲ Πεισίστρατος, τῶν εὐγενῶν ⟨ὢν⟩ καὶ γνωρίμων. καταλυθείσης δὲ τῆς τυραννίδος Κλεισθένης, τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν, καὶ τούτῳ μὲν οὐδεὶς ἦν ἀντιστασιώτης, ὡς ἐξέπεσον οἱ περὶ τὸν Ἰσαγόραν. μετὰ δὲ ταῦτα τοῦ μὲν δήμου προειστήκει Ξάνθιππος, τῶν δὲ γνωρίμων Μιλτιάδης, ἔπειτα Θεμιστοκλῆς καὶ Ἀριστείδης· μετὰ δὲ τούτους Ἐφιάλτης μὲν τοῦ δήμου, Κίμων δ' ὁ Μιλτιάδου τῶν εὐπόρων· εἶτα Περικλῆς μὲν τοῦ δήμου, Θουκυδίδης δὲ τῶν ἑτέρων, κηδεστὴς ὢν Κίμωνος. Περικλέους δὲ τελευτήσαντος, τῶν μὲν 3
ἐπιφανῶν προειστήκει Νικίας ὁ ἐν Σικελίᾳ τελευτήσας, τοῦ δὲ δήμου Κλέων ὁ Κλεαινέτου, ὃς δοκεῖ μάλιστα διαφθεῖραι τὸν δῆμον ταῖς ὁρμαῖς, καὶ πρῶτος ἐπὶ τοῦ βήματος ἀνέκραγε καὶ ἐλοιδορήσατο, καὶ περιζωσάμενος ἐδημηγόρησε, τῶν ἄλλων ἐν κόσμῳ λεγόντων. εἶτα μετὰ τούτους τῶν μὲν ἑτέρων Θηραμένης ὁ Ἅγνωνος, τοῦ δὲ δήμου Κλεοφῶν ὁ λυροποιός, ὃς καὶ τὴν διωβελίαν ἐπόρισε πρῶτος· καὶ χρόνον μέν τινα διεδίδου, μετὰ δὲ ταῦτα κατέλυσε Καλλικράτης Παιανιεύς, πρῶτος ὑποσχόμενος ἐπιθήσειν πρὸς τοῖν δυοῖν ὀβολοῖν ἄλλον ὀβολόν. τούτων μὲν οὖν ἀμφοτέρων θάνατον κατέγνωσαν ὕστερον· εἴωθεν γὰρ καὶ ἂν ἐξαπατηθῇ

---

TESTIM. 15 *schol. Luc. Tim. 30. schol. Aeschin. 1, 25. Plut. Nic. 8. 19 *schol. Ar. Vesp. 684. 20 *Zenob. VI, 29 (Athous III, 151. app. prov. IV, 11). *Phot. ὑπὲρ τὰ Καλλικράτους.

---

2 ὢν add. (Richards) H.-L. (τῶν..γνωρ. del. W.-K.; ⟨προεστηκότων Λυκούργου καὶ Μεγακλέους⟩ τῶν Poland; app.). 4 ΑΛΚΜΕΟΝ. 10 conicias ἑταίρων, coll. Plut. Pericl. 11; it. v. 15; sed obstat c. 34, 3. 14 ὁρμαῖς] διανομαῖς ci. S., coll. Plut. Arist. 24 al.; ὁρμ. ⟨χαριζόμενος⟩ J. B. Mayor. 17 ἑτέρων] εὐπόρων Papabasil. 19 ΔΙΩΒΟΛΙΑΝ, corr. W.-K., H.-L., K.[3] 19 sq. διεδίδοτο (Wyse, Richards) W.-K., H.-L., K.[3], coll. schol. Ar. Vesp. 88. 684 (app.). De re v. Wil. II, 212 sqq. 23 ΚΑΝ (ἐὰν H.-L.).

τὸ πλῆθος, ὕστερον μισεῖν τούς τι προαγαγόντας ποιεῖν
4 αὐτοὺς τῶν μὴ καλῶς ἐχόντων. ἀπὸ δὲ Κλεοφῶντος
ἤδη διεδέχοντο συνεχῶς τὴν δημαγωγίαν οἱ μάλιστα
βουλόμενοι θρασύνεσθαι καὶ χαρίζεσθαι τοῖς πολλοῖς
5 πρὸς τὸ παραυτίκα βλέποντες. δοκοῦσι δὲ βέλτιστοι
γεγονέναι τῶν Ἀθήνησι πολιτευσαμένων μετὰ τοὺς ἀρχαίους Νικίας καὶ Θουκυδίδης καὶ Θηραμένης. καὶ περὶ μὲν Νικίου καὶ Θουκυδίδου πάντες σχεδὸν ὁμολογοῦσιν ἄνδρας γεγονέναι οὐ μόνον καλοὺς κἀγαθούς, ἀλλὰ καὶ πολιτικοὺς καὶ τῇ πόλει πάσῃ πατρικῶς χρωμένους, περὶ δὲ Θηραμένους, διὰ τὸ συμβῆναι κατ᾽ αὐτὸν ταραχώδεις τὰς πολιτείας, ἀμφισβήτησις τῆς κρίσεώς ἐστιν. δοκεῖ μὴν τοῖς μὴ παρέργως ἀποφαινομένοις, οὐχ ὥσπερ αὐτὸν διαβάλλουσι πάσας τὰς πολιτείας καταλύειν, ἀλλὰ πάσας προάγειν ἕως μηδὲν παρανομοῖεν, ὡς δυνάμενος πολιτεύεσθαι κατὰ πάσας, ὅπερ ἐστὶν ἔργον ἀγαθοῦ πολίτου, παρανομούσαις δὲ οὐ συγχωρῶν, ἀλλ᾽ ἀπεχθανόμενος.

XXIX. ἕως μὲν οὖν ἰσόρροπα τὰ πράγματα κατὰ
413 τὸν πόλεμον ἦν, διεφύλαττον τὴν δημοκρατίαν. ἐπεὶ δὲ μετὰ τὴν ἐν Σικελίᾳ γενομένην διαφορὰν ἰσχυρότερα τὰ τῶν Λακεδαιμονίων ἐγένετο διὰ τὴν πρὸς βασιλέα συμμαχίαν, ἠναγκάσθησαν κι[νήσα]ντες τὴν

TESTIM. 8 *Plut. Nic. 2.

5 τὸ παραυτ. (Condos, Gennad.) H.-L. (chart. ut vid.); τὰ π. K. (etiam nunc, sed dubitanter), W.-K. (et.[3]). ΔΟΙΒЄΛΤΙCΤΟΙ, superscr. (ab al. m.) Є sup. ΟΙ. 6 ΑΘΗ$^{N}$ΗΙCΙ. 10 ad πατρικῶς adscr. (ab al. m.) v. l. καλῶς. 12 εἶναι post πολιτείας add. (Richards) H.-L. 13 ЄCΤΙ. ΔΟΚЄΙΜ(Є$^{N}$)ΤΟΙC, unde δ. μέν⟨τοι⟩ τοῖς K., H.-L. (μέντοι μὴ W.-K.). V. p. 19, 18; app. 17 ἔργον post πολίτου charta (hiat.). 19 ΙCΟΡΟΠΑ.
21 διαφορὰν („discrimen“)] συμφορὰν corrigunt (v. L., Poland, Gennadios, al., coll. schol. Ar. Lys. 421) W.-K., H.-L., K.[3] V. app.
21 sq. ΙCΧΥΡΟΤΑΤΑ, corr. (Jos. Mayor, Bl.) W.-K., H.-L.
23 ΚЄ.....ΝΤЄC, κ(ε)ινήσαντες recte W.-K.

δημοκρατίαν, καταστῆσαι τὴν ἐπὶ τῶν τετρακοσίων πο-
λιτείαν, εἰπόντος τὸν μὲν πρὸ τοῦ ψηφίσματος λόγον
Μηλοβίου, τὴν δὲ γνώμην γράψαντος Πυθοδώρου το[ῦ
Ἀναφλ]υ[σ]τίου, μάλιστα δὲ συμπεισθέντων τῶν πολλῶν,
διὰ τὸ νομίζειν βασιλέα μᾶ[λ]λον αὐτοῖς συμπολεμή-
pag. 12 σειν, ἐὰν δι' ὀλίγων ποιήσωνται τὴν πολιτείαν. ‖ ἦν δὲ 2
τὸ ψήφισμα τὸ Πυθοδώρου τοιόνδε· τὸν δῆμον ἑλέσθαι
μετὰ τῶν προϋπαρχόντων δέκα προβούλων ἄλλους εἴκοσι
ἐκ τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονότων, οἵτινες ὀμό-
σαντες ἦ μὴν συγγράψειν ἃ ἂν ἡγῶνται βέλτιστα εἶναι
τῇ πόλει, συγγράψουσι περὶ τῆς σωτηρίας· ἐξεῖναι δὲ 3
καὶ τῶν ἄλλων τῷ βουλομένῳ γράφειν, ἵν' ἐξ ἁπάν-
των αἱρῶνται τὸ ἄριστον. Κλειτοφῶν δὲ τὰ μὲν ἄλλα
καθάπερ Πυθόδωρος εἶπεν, προσαναζητῆσαι δὲ τοὺς
αἱρεθέντας ἔγραψεν καὶ τοὺς πατρίους νόμους, οὓς
Κλεισθένης ἔθηκεν ὅτε καθίστη τὴν δημοκρατίαν, ὅπως
⟨ἂν⟩ ἀκούσαντες καὶ τούτων βουλεύσωνται τὸ ἄριστον,
ὡς οὐ δημοτικὴν ἀλλὰ παραπλησίαν οὖσαν τὴν Κλει-
σθένους πολιτείαν τῇ Σόλωνος. οἱ δ' αἱρεθέντες πρῶ- 4
τον μὲν ἔγραψαν, ἐπάναγκες εἶναι τοὺς πρυτάνεις ἅπαντα
τὰ λεγόμενα περὶ τῆς σωτηρίας ἐπιψηφίζειν, ἔπειτα
τὰς τῶν παρανόμων γραφὰς καὶ τὰς εἰσαγγελίας καὶ
τὰς προσκλήσεις ἀνεῖλον, ὅπως ἂν οἱ ἐθέλοντες Ἀθη-

---

4 Ἀναφλ. Bl.[2], prob. Wn. (W.-K.[3]): ...τίου K.[1]; Σφηττίου ci. Papabasil. V. Ann. Fleckeis. 1892, 573. 5 μᾶλλον (Jos. Mayor) W.-K., K.[3], cf. (S.) Thuc. 8, 48, 1. ЄΑΥΤΟΙC. 6 in summa pag. B i. e. τόμος β'. 7 τὸ Π. em. Bl.[2] (W.-K.[3]): τοῦ Π. Cf. c. 40, 2. 11 συγγρ.] συμβουλεύσουσι (Rutherf.) H.-L.
17 ἂν add. W.-K.; βουλεύσονται H.-L. Cf. S. p. LVII.
23 ΠΡΟΚΛ., em. (Wyse, Bl., Lips.) W.-K., H.-L., K.[3]
23 sq. Ἀθηναίων (John Mayor, Gennadios) recte W.-K., H.-L. Notetur usus verbi ἐθέλειν pro βούλεσθαι, qui per haec decreta (etiam c. 30) obtinet, ad imitationem veteris linguae, qua vel Solo (c. 35, 2; Demosth. 46, 14) vel Clisthenes usus erat.

UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

ναίων συμβουλεύωσι περὶ τῶν προκειμένων· ἐὰν δέ τις τούτων χάριν ἢ ζημιοῖ ἢ προσκαλῆται ἢ εἰσάγῃ εἰς ⟨τὸ⟩ δικαστήριον, ἔνδειξιν αὐτοῦ εἶναι καὶ ἀπαγωγὴν πρὸς τοὺς στρατηγούς, τοὺς δὲ στρατηγοὺς παραδοῦναι τοῖς
5 ἕνδεκα θανάτῳ ζημιῶσαι. μετὰ δὲ ταῦτα τὴν πολιτείαν διέταξαν τόνδε ⟨τὸν⟩ τρόπον· τὰ μὲν χρήματα ⟨τὰ⟩ προσιόντα μὴ ἐξεῖναι ἄλλοσε δαπανῆσαι ἢ εἰς τὸν πόλεμον, τὰς δ' ἀρχὰς ἀμίσθους ἄρχειν ἁπάσας ἕως ἂν ὁ πόλεμος ᾖ, πλὴν τῶν ἐννέα ἀρχόντων καὶ τῶν πρυτάνεων οἳ ἂν ὦσιν· τούτους δὲ φέρειν τρεῖς ὀβολοὺς ἕκαστον τῆς ἡμέρας. τὴν δ' ἄλλην πολιτείαν ἐπιτρέψαι πᾶσαν Ἀθηναίων τοῖς δυνατωτάτοις καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασι λῃτουργεῖν, μὴ ἔλαττον πεντακισχιλίων, ἕως ἂν ὁ πόλεμος ᾖ. κυρίους δ' εἶναι τούτους καὶ συνθήκας συντίθεσθαι πρὸς οὓς ἂν ἐθέλωσιν. ἑλέσθαι δ' ἐκ τῆς φυλῆς ἑκάστης δέκα ἄνδρας ὑπὲρ τετταράκοντα ἔτη γεγονότας, οἵτινες καταλέξουσι τοὺς πεντακισχιλίους ὀμόσαντες καθ' ἱερῶν τελείων.

XXX. οἱ μὲν οὖν αἱρεθέντες ταῦτα συνέγραψαν. κυρωθέντων δὲ τούτων, εἵλοντο σφῶν αὐτῶν οἱ πεντακισχίλιοι τοὺς ἀναγράψοντας τὴν πολιτείαν ἑκατὸν ἄνδρας. οἱ δ' αἱρεθέντες ἀνέγραψαν καὶ ἐξήνεγκαν τάδε.
2 βουλεύειν μὲν κατ' ἐνιαυτὸν τοὺς ὑπὲρ τριάκοντα ἔτη γεγονότας ἄνευ μισθοφορᾶς· τούτων δ' εἶναι τοὺς στρατηγοὺς καὶ τοὺς ἐννέα ἄρχοντας καὶ τὸν ἱερομνήμονα, καὶ τοὺς ταξιάρχους καὶ ἱππάρχους καὶ φυλάρχους καὶ

---

2 ΗЄΙCΑΓΗΙΗЄΙC. 3 ⟨τὸ⟩ *δικαστήριον* H.-L. (app.). 6 ⟨τὸν⟩ ut c. 7, 3; an *το⟨ιό⟩νδε*? Cf. 59, 18. 6 sq. *τὰ* post *χρ.* add. K., W.-K.; contra *χρήματα* del. (Richards) H.-L., coll. c. 39, 2, fort. recte. 12 ΠΑCΙΝ, corr. (Bl., al.) W.-K., H.-L. 13 bis -CIN. 13 sq. *ἢ πεντακισχιλίοις* pr., adscr. v. l. (*πεντακισχιλί*)*ων*, quam deleto *ἢ* rec. W.-K. 15 ΤΙΘЄCΘ(ΑΙ) c. v. l. CYNT. 16 *δ' ἐκ* (H.) H.-L. (Kb.): *δὲ καὶ* (Δ' Κ'). 23 *τοὺς*] *τετρακοσίους* Niemeyer, Poland, non recte.

ἄρχοντας εἰς τὰ φρούρια, καὶ ταμίας τῶν ἱερῶν χρη-
μάτων τῇ θε[ῷ] καὶ τοῖς ἄλλοις θεοῖς δέκα, καὶ ἑλλη-
νοταμίας καὶ τῶν ἄλλων ὁσίων χρημάτων ἁπάντων
εἴκοσιν οἳ διαχειριοῦσι, καὶ ἱεροποιοὺς καὶ ἐπιμελητὰς
δέκα ἑκατέρους· αἱρεῖσθαι δὲ πάντας τούτους ἐκ προ-
κρίτων, ἐκ τῶν ἀεὶ βουλευόντων πλείους προκρίνοντας·
τὰς δ' ἄλλας ἀρχὰς ἁπάσας κληρωτὰς εἶναι καὶ μὴ ἐκ
τῆς βουλῆς· τοὺς δὲ ἑλληνοταμίας οἳ ἂν διαχειρίζωσι
τὰ χρήματα μὴ συμβουλεύειν. βουλὰς δὲ ποιῆσαι τέτ- 3
ταρας ἐκ τῆς ἡλικίας τῆς εἰρημένης εἰς τὸν λοιπὸν χρό-
νον, καὶ τούτων τὸ λαχὸν μέρος βουλεύειν, νεῖμαι δὲ
καὶ τοὺς ἄλλους πρὸς τὴν λῆξιν ἑκάστην. τοὺς δ'
ἑκατὸν ἄνδρας διανεῖμαι σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλ-
λους τέτταρα μέρη ὡς ἰσαίτατα καὶ διακληρῶσαι, καὶ
εἰς ἐνιαυτὸν βουλεύειν ⟨τὸ λαχὸν ἀεί. βουλεύεσθαι⟩ 4
δὲ ᾗ ἂν δοκῇ αὐτοῖς ἄριστα ἕξειν περί τε τῶν χρημά-
των, ὅπως ἂν σῶα ᾖ καὶ εἰς τὸ δέον ἀναλίσκηται, καὶ
περὶ τῶν ἄλλων ὡς ἂν δύνωνται ἄριστα· ⟨καὶ⟩ ἐάν τι
θέλωσιν βουλεύσασθαι μετὰ πλειόνων, ἐπεισκαλεῖν ἕκα-
στον ἐπείσκλητον ὃν ἂν ἐθέλῃ τῶν ἐκ τῆς αὐτῆς ἡλι-
κίας. τὰς δ' ἕδρας ποιεῖν τῆς βουλῆς κατὰ πενθήμερον,
ἂν μὴ δέωνται πλεόνων. κληροῦν δ' ἐκ τῆς βουλῆς τοὺς 5

---

TESTIM. 8 *Harpocr. ἑλληνοταμίαι. 21 Hesych. ἕδραι βουλῆς, αἳ ἐγίνοντο κατὰ πενταήμερον.

---

2 suppl. K. (ΘЄ . I agnovi, ΘЄ/ I Wn.). 2sq. καὶ ἑλληνοτ. et 4 οἳ διαχ. del. S. (καὶ et οἳ διαχ. et. Thompson); καὶ post ἑλλ. del. Hude, ἑλλ. καὶ ⟨ταμίας⟩ Papageorg. V. Kb. p. 187; Wilam. II, 117. 4 -ΟΥCIN. 8 ΟΙЄΑΝ (ὅταν Bart). 11 ΔΟΥ-ΛЄΥЄΙΝ. 15 ⟨βουλεύειν⟩ K., ⟨τοὺς λαχόντας. πράττειν⟩ W.-K., βουλεύεσθαι ᾗ ἂν H.-L. (app.). 18 ⟨καὶ⟩ app. (κἂν K., ἐὰν δὲ Jos. Mayor, W.-K., H.-L.). 20 ЄΠЄΙCЄΚΛΗΤΟΝ, addito Κ pro varia lect. supra ΚΛ. Corr. K. 21 ΠЄΝΘΗΜΗΜЄΡΟΝ, corr. K. 22 ЄΑΝ. ΠΛЄΙΟΝѠΝ. ΔЄΤΗΝΒΟΥΛΗΝ; cf. p. 53, 4; λαχόντας ἐκ τ. β. ibd. 2 (κληροῦν ci. W.-K., Weil; app.).

ἐννέα ἄρχοντας. τὰς δὲ χειροτονίας κρίνειν πέντε τοὺς λαχόντας ἐκ τῆς βουλῆς, καὶ ἐκ τούτων ἕνα κληροῦσθαι καθ' ἑκάστην ⟨τὴν⟩ ἡμέραν τὸν ἐπιψηφιοῦντα. κληροῦν δὲ τοὺς λαχόντας πέντε τοὺς ἐθέλοντας προσελθεῖν ἐναντίον τῆς βουλῆς, πρῶτον μὲν ἱερῶν, δεύτερον δὲ κήρυξιν, τρίτον πρεσβείαις, τέταρτον τῶν ἄλλων· τὰ δὲ τοῦ πολέμου ὅταν δέῃ ἀκληρωτὶ προσ-
6 αγαγόντας τοὺς στρατηγοὺς χρηματίζειν. τὸν δὲ μὴ ἰόντα εἰς τὸ βουλευτήριον τῶν βουλευόντων τὴν ὥραν τὴν προρρηθεῖσαν, ὀφείλειν δραχμὴν τῆς ἡμέρας ἑκάστης, ἂν μὴ εὑρισκόμενος ἄφεσιν τῆς βουλῆς ἀπῇ ‖.

XXXI. ταύτην μὲν οὖν εἰς τὸν μέλλοντα χρόνον pag. 13
ἀνέγραψαν τὴν πολιτείαν, ἐν δὲ τῷ παρόντι καιρῷ τήνδε· βουλεύειν μὲν τετρακοσίους κατὰ τὰ πάτρια, τετταράκοντα ἐξ ἑκάστης ⟨τῆς⟩ φυλῆς, ἐκ προκρίτων [ο]ὓς ἂν ἕλωνται οἱ φυλέται τῶν ὑπὲρ τριάκοντα ἔτη γεγονότων. τούτους δὲ τάς τε ἀρχὰς καταστῆσαι, καὶ περὶ τοῦ ὅρκου ὅντινα χρὴ ὀμόσαι γράψαι, ⟨καὶ⟩ περὶ τῶν νόμων καὶ τῶν εὐθυν[ῶν] καὶ τῶν ἄλλων πράτ-
2 τειν ᾗ ἂν ἡγῶνται συμφέρειν. τοῖς δὲ νόμοις οἳ ἂν τεθῶσιν περὶ τῶν πολιτικῶν χρῆσθαι, καὶ μὴ ἐξεῖναι μετακινεῖν μηδ' ἑτέρους θέσθαι. τῶν δὲ στρατηγῶν τὸ νῦν εἶναι τὴν αἵρεσιν ἐξ ἁπάντων ποιεῖσθαι τῶν πεντακισχιλίων, τὴν δὲ βουλὴν ἐπειδὰν καταστῇ, ποιήσασαν ἐξέτασιν ὅπλων ἑλέσθαι δέκα ⟦ἄνδρας⟧ καὶ

---

3 addidi τὴν. 6 ΠΡΕϹΒΕΙΑΙ, corr. Wyse, Poland, coll. c. 43, 6) W.-K., H.-L., K.$^3$ 8 ΧΡΗΜΑΤΙΖΕϹΘΑΙ, -ειν Bl. (W.-K.$^3$). 10 ΠΡΟΡΗΘ. 11 ΕΑΝ. εὑρόμενος (Tyrrell, Richards) H.-L.; sed v. Wil. II, 118 (app.). 15 addidi τῆς.

18 ⟨καὶ⟩ K. 20 ΟΙΕΑΝ. 23 ΤΟΝΝΥΝ, sed ο pro v. l. sup. ΟΝ superscr. 24 ΚΑΤΑϹΤΗϹΗΙ (Ι postmodo ins.), em. Wyse, Bl., al. 25 ⟨ἐν⟩ ὅπλοις eid., sed praest. ὅπλων (K.$^3$, app.). ⟦ἄνδρας⟧ app.

γραμματέα τούτοις, τοὺς δὲ αἱρεθέντας ἄρχειν τὸν εἰσι-
όντα ἐνιαυτὸν αὐτοκράτορας, κἄν τι δέωνται συμ-
βουλεύεσθαι μετὰ τῆς βουλῆς. ἑλέσθαι δὲ καὶ ἵππαρ- 5
χόν ⟨θ'⟩ ἕνα ⟨καὶ ταξιάρχους⟩ καὶ φυλάρχους δέκα·
τὸ δὲ λοιπὸν τὴν αἵρεσιν ποιεῖσθαι τούτων ⟦τὴν βουλὴν⟧
κατὰ τὰ γεγραμμένα. τῶν δ' ἄλλων ἀρχῶν πλὴν τῆς
βουλῆς καὶ τῶν στρατηγῶν, μὴ ἐξεῖναι μήτε τούτοις
μήτε ἄλλῳ μηδενὶ πλέον ἢ ἅπαξ ἄρξαι τὴν αὐτὴν
ἀρχήν. εἰς δὲ τὸν ἄλλον χρόνον ἵνα νεμηθῶσιν οἱ
τετρακόσιοι εἰς τὰς τέτταρας λήξεις, ὅταν αὐτοῖς
γίγνηται μετὰ τῶν ἄλλων βουλεύειν, διανειμάντων
αὐτοὺς οἱ ἑκατὸν ἄνδρες.

XXXII. οἱ μὲν οὖν ἑκατὸν οἱ ὑπὸ τῶν πεντακισχι-
λίων αἱρεθέντες, ταύτην ἀνέγραψαν τὴν πολιτείαν.
ἐπικυρωθέντων δὲ τούτων ὑπὸ τοῦ πλήθους, ἐπιψηφί-
σαντος Ἀριστομάχου, ἡ μὲν βουλὴ ἐπὶ Καλλίου 412/11
πρὶν διαβουλεῦσαι κατελύθη μηνὸς Θαργηλιῶνος τε-
τράδι ἐπὶ δέκα, οἱ δὲ τετρακόσιοι εἰσήεσαν ἐνάτῃ φθί-
νοντος Θαργηλιῶνος· ἔδει δὲ τὴν εἰληχυῖαν τῷ κυάμῳ
βουλὴν εἰσιέναι δ' ἐπὶ δέκα Σκιροφοριῶνος. ἡ μὲν 2
οὖν ὀλιγαρχία τοῦτον κατέστη τὸν τρόπον, ἐπὶ Καλ-
λίου μὲν ἄρχοντος, ἔτεσι δ' ὕστερον τῆς τῶν τυράν-
νων ἐκβολῆς μάλιστα ἑκατόν, αἰτίων μάλιστα γενομένων
Πεισάνδρου καὶ Ἀντιφῶντος καὶ Θηραμένους, ἀνδρῶν
καὶ γεγενημένων εὖ, καὶ συνέσει καὶ γνώμῃ δοκούν-
pag. 14 των διαφέρειν. ‖ γενομένης δὲ ταύτης τῆς πολιτείας, 3

1 sq. ᵋICIONTA. 2 κἂν S.: καὶ ἂν. 2 sq. CYᴺBOYΛЄY-CΘAI. 4 addidi θ', καὶ ταξ. δέκα add. Wil. (app.). 5 TA (corr. TO)ΔЄTOΛ, corr. K. ⟦τὴν β.⟧ app. 6 ΠPIᴺ pro πλὴν ut saepius. 8 πλέον H.-L., K.[3]: πλεῖον. 10 OTAᴺTOICACTOIC recte legit K.; ὅταν τοῖς αὐτοῖς Tyrrell, Bl.[1]; ὅτ. ⟦τοῖς⟧ αὐτοῖς (ci. K.[3]) S., it. sed ἐγγίγν. Hude, ὥστ' αὐτοῖς Sakell. 11 HΓᴺHᴺTAI pr. 12 A[.]ΔΔPЄIC. 16 ⟨ἡ⟩ ἐπὶ (Rutherf., H.) W.-K., H.-L., K.[3] (app.). 18 εἰσῇσαν H.-L. 19 ἔδει K.: ЄTI. 22 -CIᴺ. 23 prius μάλιστα del. H.-L. (app.).

οἱ μὲν πεντακισχίλιοι λόγῳ μόνον ᾑρέθησαν, οἱ δὲ τετρακόσιοι μετὰ τῶν δέκα τῶν αὐτοκρατόρων, εἰσελθόντες εἰς τὸ βουλευτήριον ἦρχον τῆς πόλεως, καὶ πρὸς Λακεδαιμονίους πρεσβευσάμενοι κατελύοντο τὸν πόλεμον, ἐφ' οἷς ἑκάτεροι τυγχάνουσιν ἔχοντες. οὐχ ὑπακουόντων δ' ἐκείνων, εἰ μὴ καὶ τὴν ἀρχὴν τῆς θαλάττης ἀφήσουσιν, οὕτως ἀπέστησαν.

XXXIII. μῆνας μὲν οὖν ἴσως τέτταρας διέμεινεν ἡ
411/10 τῶν τετρακοσίων πολιτεία, καὶ ἦρξεν ἐξ αὐτῶν Μνησίλοχος δίμηνον ἐπὶ Θεοπόμπου ἄρχοντος (ἦρξε ⟨δὲ⟩ τοὺς ἐπιλοίπους δέκα μῆνας). ἡττηθέντες δὲ τῇ περὶ Ἐρέτριαν ναυμαχίᾳ, καὶ τῆς Εὐβοίας ἀποστάσης ὅλης πλὴν Ὠρεοῦ, χαλεπῶς ἐνεγκόντες ἐπὶ τῇ συμφορᾷ μάλιστα τῶν προγεγενημένων (πλείω γὰρ ἐκ τῆς Εὐβοίας ἢ τῆς Ἀττικῆς ἐτύγχανον ὠφελούμενοι), κατέλυσαν τοὺς τετρακοσίους, καὶ τὰ πράγματα παρέδωκαν τοῖς πεντακισχιλίοις τοῖς ἐκ τῶν ὅπλων, ψηφισάμενοι μη-
2 δεμίαν ἀρχὴν εἶναι μισθοφόρον. αἰτιώτατοι δ' ἐγένοντο τῆς καταλύσεως Ἀριστοκράτης καὶ Θηραμένης, οὐ συναρεσκόμενοι τοῖς ὑπὸ τῶν τετρακοσίων γιγνομένοις· ἅπαντα γὰρ δι' αὑτῶν ἔπραττον, οὐδὲν ἐπαναφέροντες τοῖς πεντακισχιλίοις. δοκοῦσι δὲ καλῶς πολιτευθῆναι κατὰ τούτους τοὺς καιρούς, πολέμου τε καθεστῶτος καὶ ἐκ τῶν ὅπλων τῆς πολιτείας οὔσης.

---

TESTIM. 8 *Harpocr. τετρακόσιοι.

---

1 ΗΡΕΘΗϹΑΝΗΡΕΘΗϹΑΝΟΔΕ (superscr. ЄΡΗ). 3 ἦρχόν ⟨τε⟩ (Hude) W.-K. ΤΥΓ | ΤЄΧΑΝ. ΟΥΚ. 6 ὑπακουόντων recte H.-L. 9 sq. ΜΝΑϹΙΜΑΧΟϹ superscr. ΛΟ sup. ΜΑ, *Μνησίλ.* W.-K. 10 ⟨ὃς⟩ ἦρξε K., W.-K.; ⟨ὁ δ'⟩ H.-L. (app.). 13 ΩΡΙΟΥ. ⟨ταύτῃ⟩ τῇ συμφ. ci. W.-K. (τῇ σ. ⟨ταύτῃ⟩ Papabasil.). 18 ΜΙϹΘ(pr. Τ)ΟΦΟΡΩΝ, corr. (Fränkel, al.) W.-K., H.-L., K.[3] 20 sq. ΓЄΝΟΜ pr., Ι ad Є add. corr. (γενομ. K.[1], γι(γ)ν. Bl., Gennad., W.-K., H.-L.).

XXXIV. τούτους μὲν οὖν ἀφείλετο τὴν πολιτείαν
ὁ δῆμος διὰ τάχους· ἔτει δ' *ἕκτῳ μετὰ τὴν τῶν τετρα-
κοσίων κατάλυσιν, ἐπὶ Καλλίου τοῦ Ἀγγελῆθεν ἄρχον- 406/5
τος, γενομένης τῆς ἐν Ἀργινούσσαις ναυμαχίας, πρῶ-
τον μὲν τοὺς [[δέκα]] στρατηγοὺς τοὺς τῇ ναυμαχίᾳ νι-
κῶντας συνέβη κριθῆναι μιᾷ χειροτονίᾳ πάντας, τοὺς
μὲν οὐδὲ συνναυμαχήσαντας, τοὺς δ' ἐπ' ἀλλοτρίας
νεὼς σωθέντας, ἐξαπατηθέντος τοῦ δήμου διὰ τοὺς
παροργίσαντας· ἔπειτα βουλομένων Λακεδαιμονίων ἐκ
Δεκελείας ἀπιέναι καὶ ἐφ' οἷς ἔχουσιν ἑκάτεροι εἰρή-
pag. 15 νην ἄγειν, ἔνιοι μὲν ἐσπούδαζον, τὸ δὲ πλῆθος ‖ οὐχ
ὑπήκουσεν ἐξαπατηθέντες ὑπὸ Κλεοφῶντος, ὃς ἐκώλυσε
γενέσθαι τὴν εἰρήνην, ἐλθὼν εἰς τὴν ἐκκλησίαν με-
θύων καὶ θώρακα ἐνδεδυκώς, οὐ φάσκων ἐπιτρέψειν,
ἐὰν μὴ πάσας ἀφιῶσι Λακεδαιμόνιοι τὰς πόλεις. οὐ 2
χρησάμενοι δὲ καλῶς τότε τοῖς πράγμασι, μετ' οὐ
πολὺν χρόνον ἔγνωσαν τὴν ἁμαρτίαν. τῷ γὰρ ὕστε-
ρον ἔτει, ἐπ' Ἀλεξίου ἄρχοντος, ἠτύχησαν τὴν ἐν 405/4
Αἰγὸς ποταμοῖς ναυμαχίαν, ἐξ ἧς συνέβη κύριον γε-
νόμενον τῆς πόλεως Λύσανδρον, καταστῆσαι τοὺς τριά-
κοντα τρόπῳ τοιῷδε. τῆς εἰρήνης γενομένης αὐτοῖς, 3
ἐφ' ᾧ τε πολιτεύσονται τὴν πάτριον πολιτείαν, οἱ μὲν
δημοτικοὶ διασῴζειν ἐπειρῶντο τὸν δῆμον, τῶν δὲ γνω-

TESTIM. 4 sqq. *schol. Arist. Ran. 1532.

1 Ο(Υ)Ν add. s. v. 2 ὁ δῆμος s. vers. ЄΒΔΟΜΩ, corr. (post K.) W.-K.$^{2.3}$ (W.-K.$^{1}$, Poland κατάστασιν v. 3 et ἑβδόμῳ v. 2; app.). 4 ΑΡΓΙΝΟΥϹϹΑϹ (Wn. -ΟΥϹΑϹ) pr., corr. -ΟΥϹϹΑΙϹ (-ούσαις K., al., -ούσσαις et. W.-K.$^{3}$). 5 [[δέκα]] app. 8 ЄΞΑΠΑ-ΤΗΘЄΝΤЄϹ, corr. K. 9 Λακ. βουλ. schol. 10 ΑΝΙЄΝΑΙ, corr. (c. schol. Arist.) Wyse, Bl., al. (W.-K., H.-L., K.$^{3}$); ἑκάτ. εἰρ. cum schol. K., H.-L. pro ΙΡΗΝΗΝЄΚΑΤЄΡΟΙ; W.-K. etiam καὶ ex eisd. post ἑκάτ. transpos. (app.). 15 ἀφῶσι (schol. Ar., Naber, Gennad., Richards) W.-K., H.-L. Cf. supra ἀπιέναι. τὰς π. οἱ Λακ. schol. 22 ⟨κατὰ⟩ τὴν Hude, v. Kb. 23 διασώσειν K.$^{1}$ (Ϲ in chart. supra Ζ).

ρίμων οἱ μὲν ἐν ταῖς ἑταιρείαις ὄντες, καὶ τῶν φυγάδων οἱ μετὰ τὴν εἰρήνην κατελθόντες, ὀλιγαρχίας ἐπεθύμουν, οἱ δ' ἐν ἑταιρείᾳ μὲν οὐδεμιᾷ συγκαθεστῶτες, ἄλλως δὲ δοκοῦντες οὐδενὸς ἐπιλείπεσθαι τῶν πολιτῶν, τὴν πάτριον πολιτείαν ἐζήτουν· ὧν ἦν μὲν καὶ Ἀρχῖνος καὶ Ἄνυτος καὶ Κλειτοφῶν καὶ Φορμίσιος καὶ ἕτεροι πολλοί, προειστήκει δὲ μάλιστα Θηραμένης. Λυσάνδρου δὲ προσθεμένου τοῖς ὀλιγαρχικοῖς, καταπλαγεὶς ὁ δῆμος ἠναγκάσθη χειροτονεῖν τὴν ὀλιγαρχίαν. ἔγραψε δὲ τὸ ψήφισμα Δρακοντίδης Ἀφιδναῖος.

XXXV. οἱ μὲν οὖν τριάκοντα τοῦτον τὸν τρόπον
404/3 κατέστησαν ἐπὶ Πυθοδώρου ἄρχοντος. γενόμενοι δὲ κύριοι τῆς πόλεως, τὰ μὲν ἄλλα τὰ δόξαντα περὶ τῆς πολιτείας παρεώρων, πεντακοσίους δὲ βουλευτὰς καὶ τὰς ἄλλας ἀρχὰς καταστήσαντες ἐκ προκρίτων ⟦ἐκ τῶν χιλίων⟧, καὶ προσελόμενοι σφίσιν αὐτοῖς τοῦ Πειραιέως ἄρχοντας δέκα, καὶ τοῦ δεσμωτηρίου φύλακας ἕνδεκα, καὶ μαστιγοφόρους τριακοσίους ὑπηρέτας, κατεῖχον τὴν
2 πόλιν δι' ἑαυτῶν. τὸ μὲν οὖν πρῶτον μέτριοι τοῖς πολίταις ἦσαν καὶ προσεποιοῦντο διώκειν τὴν πάτριον πολιτείαν, καὶ τούς τ' Ἐφιάλτου καὶ Ἀρχεστράτου νόμους τοὺς περὶ τῶν Ἀρεοπαγιτῶν καθεῖλον ἐξ Ἀρείου πάγο[υ], καὶ τῶν Σόλωνος θεσμῶν ὅσοι διαμφισβητή-

TESTIM. 10 *schol. Arist. Vesp. 157. 16 Bekk. An. 235, 31.

2 ΟΛΙΓΑΡΧΙΑΝ, corr. (Bl., al.) W.-K., H.-L., K.$^{3}$ 4 ΑΛΩC ЄΠΙΛΙΠ corr. K. (ἀπολ. Gennad., al., H.-L., cf. c. 20, 2). 5 ἐζήλουν contra chart. H.-L. 6 ΑΝΝΥΤΟC. 12 ΚΑΤЄCΤΗCЄ, corr. K. 15 ἐκ τῶν χιλίων del. Marindin; ἐκ τῶν πεντακισχ. scr. H.-L., ἐκ προκρίτων πεντακ. ci .W.-K.$^{3}$; ἐκ τῶν φυλῶν Hude; ἐκ τ. ⟨φ.⟩. χιλίων Papageorg. 16 ΠΙΡΑΙΩC (pr. ΑΩC), tum -ΑΙЄΩC. 18 ὑπηρέτας del. Rutherf. 19 δι' αὐτῶν (Jos. Mayor) H.-L. 20 ΔΙΟΙΚЄΙΝ (K.), em. coll. c. 13, 4 (Condos, Gertz) W.-K., H.-L.

σεις εἶχον, καὶ τὸ κῦρος ὃ ἦν ἐν τοῖς δικασταῖς κατέ-
λυσαν, ὡς ἐπανορθοῦντες καὶ ποιοῦντες ἀναμφισβήτη-
pag. 16 τον τὴν πολιτείαν· οἷον ‖ περὶ τοῦ δοῦναι τὰ ἑαυτοῦ
ᾧ ἂν ἐθέλῃ κύριον ποιήσαντες καθάπαξ, τὰς δὲ προσ-
ούσας δυσκολίας, ‘ἐὰν μὴ μανιῶν ἢ γήρως ⟨ἕνεκα⟩ ἢ
γυναικὶ πιθόμενος’, ἀφεῖλον ὅπως μὴ ᾖ τοῖς συκο-
φάνταις ἔφοδος· ὁμοίως δὲ τοῦτ᾽ ἔδρων καὶ ἐπὶ τῶν
ἄλλων. κατ᾽ ἀρχὰς μὲν οὖν ταῦτ᾽ ἐποίουν, καὶ τοὺς 3
συκοφάντας καὶ τοὺς τῷ δήμῳ πρὸς χάριν ὁμιλοῦντας
παρὰ τὸ βέλτιστον καὶ κακοπράγμονας ὄντας καὶ πο-
νηροὺς ἀνῄρουν, ἐφ᾽ οἷς ἔχαιρον ἡ πόλις γιγνομένοις
ἡγούμενοι τοῦ βελτίστου χάριν ποιεῖν αὐτούς. ἐπεὶ 4
δὲ τὴν πόλιν ἐγκρατέστερον ἔσχον, οὐδενὸς ἀπείχοντο
τῶν πολιτῶν, ἀλλ᾽ ἀπέκτεινον τοὺς καὶ ταῖς οὐσίαις
καὶ τῷ γένει καὶ τοῖς ἀξιώμασιν προέχοντας, ὑπεξαι-
ρούμενοί τε τὸν φόβον καὶ βουλόμενοι τὰς οὐσίας διαρ-
πάζειν· καὶ χρόνου διαπεσόντος βραχέος, οὐκ ἐλάττους
ἀνῃρήκεσαν ἢ χιλίους πεντακοσίους.

XXXVI. οὕτως δὲ τῆς πόλεως ὑποφερομένης, Θηραμένης ἀγανακτῶν ἐπὶ τοῖς γιγνομένοις, τῆς μὲν ἀσελγείας αὐτοῖς παρῄνει παύσασθαι, μεταδοῦναι δὲ τῶν πραγμάτων τοῖς βελτίστοις. οἳ δὲ ⟨τὸ⟩ πρῶτον ἐναντιωθέντες, ἐπεὶ ⟨δὲ⟩ διεσπάρησαν οἱ λόγοι πρὸς τὸ πλῆθος, καὶ πρὸς τὸν Θηραμένην οἰκείως εἶχον οἱ πολλοί, φοβη-

---

3 sq. οἷον ⟨τὸν⟩ — ἐποίησαν W.-K.; sed ad testantem κύριος refertur. δὲ v. 4 del. Condos, Pantazides. 4 ⟨τις⟩ ἐθέλῃ H.-L., sed v. Dem. 46, 14. 5 ΓΗΡΩΝ; γήρως ⟨ἕνεκα⟩ Wyse, Bl.; plura add. (ex Dem.) Poland, H.-L.; def. tradita Kb. (μανιῶν et γηρῶν partic.; sed v. Hyperid. V, c. 8 § 17; μανίαι Arist. Pac. 65 al.). 10 καὶ prius del. W.-K. 11 ἔχαιρεν (Sidgwick, Rutherf.) W.-K. 14 ΑΠΕΚΤΕΙΝΑΝ, em. (Bl., Condos) W.-K., H.-L. 15 ΥΠΟΕΞ. 17 διελθόντος ci. H., Bernardakis. Cf. Kb.; app. 22 ΠΡΩΤΟΙ (app.); πρῶτον ⟨μὲν⟩ et 23 ἐπεὶ ⟨δὲ⟩ Sakorr. (app.).

θέντες μὴ προστάτης γενόμενος τοῦ δήμου, καταλύσῃ τὴν δυναστείαν, καταλέγουσιν τῶν πολιτῶν τρισχιλίους,
2 ὡς μεταδώσοντες τῆς πολιτείας. Θηραμένης δὲ πάλιν ἐπιτιμᾷ καὶ τούτοις, πρῶτον μὲν ὅτι βουλόμενοι μεταδοῦναι τοῖς ἐπιεικέσι τρισχιλίοις μόνοις μεταδιδόασι, ὡς ⟦ἐν⟧ τούτῳ τῷ πλήθει τῆς ἀρετῆς ὡρισμένης, ἔπειθ' ὅτι δύο τὰ ἐναντιώτατα ποιοῦσιν, βίαιόν τε τὴν ἀρχήν, καὶ τῶν ἀρχομένων ἥττω κατασκευάζοντες. οἱ δὲ τούτων μὲν ὠλιγώρησαν, τὸν δὲ κατάλογον τῶν τρισχιλίων πολὺν μὲν χρόνον ὑπερεβάλλοντο καὶ παρ' αὑτοῖς ἐφύλαττον τοὺς ἐγνωσμένους, ὅτε δὲ καὶ δόξειεν αὐτοῖς ἐκφέρειν, τοὺς μὲν ἐξήλειφον τῶν γεγραμμένων, τοὺς δ' ἀντενέγραφον τῶν ἔξωθεν.

XXXVII. ἤδη δὲ τοῦ χειμῶνος ἐνεστῶτος, καταλαβόντος Θρασυβούλου μετὰ τῶν φυγάδων Φυλήν, καὶ κατὰ τὴν στρατιὰν ἣν ἐξήγαγον οἱ τριάκοντα κακῶς ἀποχωρήσαντες, ἔγνωσαν τῶν μὲν ἄλλων τὰ ὅπλα παρελέσθαι, Θηραμένην δὲ διαφθεῖραι τόνδε ⟨τὸν⟩ τρόπον. νόμους εἰσήνεγκαν εἰς τὴν βουλὴν δύο κελεύοντες ‖ ἐπι- pag. 17
χειροτονεῖν, ὧν ὁ μὲν εἷς αὐτοκράτορας ἐποίει τοὺς τριάκοντα, τῶν πολιτῶν ἀποκτεῖναι τοὺς μὴ τοῦ καταλόγου μετέχοντας τῶν τρισχιλίων, ὁ δ' ἕτερος ἐκώλυεν κοινωνεῖν τῆς παρούσης πολιτείας, ὅσοι τυγχάνουσιν ⟨ἢ⟩ τὸ ἐν Ἠετιωνείᾳ τεῖχος κατασκάψαντες, ἢ τοῖς τετρακοσίοις ἐναντίον τι πράξαντες, ⟦ἢ τοῖς⟧ κατασκευάσασι τὴν προτέραν ὀλιγαρχίαν· ὧν ἐτύγχανεν ἀμφοτέρων

---

2 ΔΙCΧΙΛΙΟΥC. 4 ἐπετίμα Gennadios. 6 ⟦ἐν⟧ app. 10 ΥΠΕΡΒΑΛΛ. 12 ὑπ. ⟨ἐκφέρειν⟩ Gertz; cf. Kb. ⟨ἐγ⟩γεγρ. (H.) W.-K., H.-L. 15 καὶ del. W.-K.; contra οἱ τριάκοντα v. 16 del. (Richards) H.-L. 16 στρατείαν W.-K.; v. ad c. 22, 8, app. 17 sq. ΠΑΡΙΕCΘΑΙ cum Є supra I. 18 τόνδε ⟨τὸν⟩ post multos W.-K., H.-L., cf. p. 51, 6. 22 -ΛΥЄ. 23 OCCOI. 24 ⟨ἢ⟩ app. 25 ἢ del. (H., Hude) W.-K., H.-L., app.

κεκοινωνηκὼς ὁ Θηραμένης, ὥστε συνέβαινε ἐπικυρωθέντων τῶν νόμων, ἔξω τε γίγνεσθαι τῆς πολιτείας αὐτόν, καὶ τοὺς τριάκοντα κυρίους εἶναι θανατοῦντας. ἀναιρεθέντος δὲ Θηραμένους, τά τε ὅπλα παρείλοντο 2
πάντων πλὴν τῶν τρισχιλίων, καὶ ἐν τοῖς ἄλλοις πολὺ πρὸς ὠμότητα καὶ πονηρίαν ἐπέδοσαν. πρέσβεις ⟨δὲ⟩ πέμψαντες εἰς Λακεδαίμονα τοῦ τε Θηραμένους κατηγόρουν, καὶ βοηθεῖν αὑτοῖς ἠξίουν· ὧν ἀκούσαντες οἱ Λακεδαιμόνιοι, Καλλίβιον ἀπέστειλαν ἁρμοστὴν καὶ στρατιώτας ὡς ἑπτακοσίους, οἳ τὴν ἀκρόπολιν ἐλθόντες ἐφρούρουν.

XXXVIII. μετὰ δὲ ταῦτα καταλαβόντων τῶν ἀπὸ Φυλῆς τὴν Μουνιχίαν, καὶ νικησάντων μάχῃ τοὺς μετὰ τῶν τριάκοντα βοηθήσαντας, ἐπαναχωρήσαντες μετὰ τὸν κίνδυνον οἱ ἐκ τοῦ ἄστεως, καὶ συναθροισθέντες εἰς τὴν ἀγορὰν τῇ ὑστεραίᾳ, τοὺς μὲν τριάκοντα κατέλυσαν, αἱροῦνται δὲ δέκα τῶν πολιτῶν αὐτοκράτορας ἐπὶ τὴν τοῦ [πο]λέμου κατάλυσιν. οἱ δὲ παραλαβόντες τὴν ἀρχήν, ἐφ' οἷς μὲν ᾑρέθησαν οὐκ ἔπραττον, ἔπεμπον δ' εἰς Λακεδαίμονα βοήθειαν μεταπεμπόμενοι, καὶ χρήματα δανειζόμενοι. χαλεπῶς δὲ φερόντων ἐπὶ τού- 2
τοις τῶν ἐν τῇ πολιτείᾳ, φοβούμενοι μὴ καταλυθῶσιν τῆς ἀρχῆς, καὶ βουλόμενοι καταπλῆξαι τοὺς ἄλλους,

---

TESTIM. 17 Bekk. An. 236, 1.

---

1. -NEN. 3 θανατοῦν (Lacon, Keil) H.-L. (Xen. Hell. II, 3, 51), θανατοῦν αὐτόν Poland. Sed v. Thuc. 5, 34. 8, 51, al. (Condos). 6 lac. post ἐπέδοσαν stat. W.-K. (cf. Lit. Centralbl. 1893, p. 1713); H.-L. v. 7 ΛΑΚΕΔΑΙΜΟΝΑΟΙ (Λακεδαίμονα, οἳ) agnoscere in chart. sibi videntur, sed perperam (est aliquid deletum, tum A superscr. ab al. m.); ⟨δὲ⟩ post πρ. add. (Jos. Mayor, Bl., al.) H.-L.; app. 8 αὑτοῖς K., H.-L., αὐτοῖς W.-K. 13 ΜΟΥΝΥΧΙΑΝ (it. p. 61, 7). 15 CYNACΘΡΟΙCΘ. 19 ΕΝΟΙC. 19 sq. neque ἔπεμψαν (H.-L.), neque ἐ[πρέσβευ]σ[αν (K., W.-K.[1.2]). 23 pr. ΒΟΥΛΟΜΕΝΟΙΜΗΚΑΤΑΛΥΘΩCΙΤΗ[C]ΑΡΧΗCΚΑΙΕΟΥ-

ὅπερ ἐγένετο, συλλαβόντες Δημάρετον οὐδενὸς ὄντα
δεύτερον τῶν πολιτῶν, ἀπέκτειναν καὶ τὰ πράγματα
βεβαίως εἶχον, συναγωνιζομένου Καλλιβίου τε καὶ τῶν
Πελοποννησίων τῶν παρόντων, καὶ πρὸς τούτοις ἐνίων
τῶν ἐν τοῖς ἱππεῦσι· τούτων γάρ τινες μάλιστα τῶν
πολιτῶν ἐσπούδαζον, μὴ κατελθεῖν τοὺς ἀπὸ Φυλῆς.
3 ὡς δ' οἱ τὸν Πειραιέα καὶ τὴν Μουνιχίαν ἔχοντες, ἀπο-
στάντος ἅπαντος τοῦ δήμου πρὸς αὐτούς, ἐπεκράτουν
τῷ πολέμῳ, τότε καταλύσαντες τοὺς δέκα τοὺς πρώ-
τους αἱρεθέντας, ἄλλους εἵλοντο δέκα τοὺς βελτίστους
εἶναι δοκοῦντας, ἐφ' ὧν συνέβη καὶ τὰς διαλύσεις ‖ γε- pag. 18
νέσθαι καὶ κατελθεῖν τὸν δῆμον, συναγωνιζομένων καὶ
προθυμουμένων τούτων. προειστήκεσαν δ' αὐτῶν μά-
λιστα Ῥίνων τε ὁ Παιανιεὺς καὶ Φάυλλος ὁ Ἀχερδού-
σιος· οὗτοι γὰρ πρὶν Παυσανίαν τ' ἀφικέσθαι διε-
πέμποντο πρὸς τοὺς ἐν Πειραιεῖ, καὶ ἀφικομένου *συν-
4 εσπούδαζον τὴν κάθοδον. ἐπὶ πέρας γὰρ ἤγαγε τὴν εἰρή-
νην καὶ τὰς διαλύσεις Παυσανίας ὁ τῶν Λακεδαιμονίων
βασιλεύς, μετὰ τῶν ⟨πεντεκαί⟩δεκα διαλλακτῶν τῶν
ὕστερον ἀφικομένων ἐκ Λακεδαίμονος, οὓς αὐτὸς ἐσπού-
δασεν ἐλθεῖν. οἱ δὲ περὶ τὸν Ῥίνωνα διά τε τὴν εὔ-
νοιαν τὴν εἰς τὸν δῆμον ἐπῃνέθησαν, καὶ λαβόντες
τὴν ἐπιμέλειαν ἐν ὀλιγαρχίᾳ, τὰς εὐθύνας ἔδοσαν [ἐ]ν
δημοκρατίᾳ, καὶ οὐδεὶς οὐδὲν ἐνεκάλεσεν αὐτοῖς, οὔτε

---

ΛΟΜΕΝΟΙ; deleta omnia a ΜΗ (ita Wn.) usque ad ΜΕΝΟΙ.
1 Δημάρ. (Bl.) W.-K., H.-L., K.$^{3}$ 3 -νιζομέν[ων] H.-L., non recte. 4 -ΝΗΣΩΝ. 7 ΠΙΡΑΙΑ pr. 8 ΑΠΑΝΤΟΣ corr.; id. pr. fuisse vid. (K. Bl.). ΠΡΟΣΑΥΤΗΝ (corr. Bl., al.).
14 sq. ΑΧΕΡΔΟΥΣΥΙΟΣ (corr. Bywater, al.). 15 πρίν τε Π. ἀφ. (Richards) H.-L., W.-K.$^{2.3}$: πρὶν ἢ Π. τ' ἀφικ. charta (app.).
16 ΠΙΡΑΙ pr., add. est Ι et super eam Ε. ΑΦΙΚΝΟΜΕΝΟΥΣ.
16 sq. -ΑΣΑΝ (app.). 19 πεντεκαίδεκα sec. Xen. Hell. II, 4, 38 ci. K.-W.$^{2.3}$, app. 23 post ἐπιμέλειαν .. ΣΟΥΣ, sed deleta (εὐθὺς leg. H.-L.). 23 sq. ἐν δημ. (Wyse, ἐν τῇ δ. Bl.) W.-K., H.-L.

*τῶν ἐν ἄστει μεινάντων, οὔτε τῶν ἐκ Πειραιέως κατελ-
θόντων, ἀλλὰ διὰ ταῦτα καὶ στρατηγὸς εὐθὺς ᾑρέθη
Ῥίνων.*

XXXIX. *ἐγένοντο δ' αἱ διαλύσεις ἐπ' Εὐκλείδου* 403/2
*ἄρχοντος κατὰ τὰς συνθήκας τάσδε. τοὺς βουλομένους
Ἀθηναίων τῶν ἐν ἄστει μεινάντων ἐξοικεῖν, ἔχειν Ἐλευ-
σῖνα ἐπιτίμους ὄντας καὶ κυρίους καὶ αὐτοκράτορας
ἑ[αυ]τῶν καὶ τὰ αὑτῶν καρπουμένους. τὸ δ' ἱερὸν* 2
*εἶναι κοινὸν ἀμφοτέρων, ἐπιμελεῖσθαι δὲ Κήρυκας καὶ
Εὐμολπίδας κατὰ τὰ πάτρια. μὴ ἐξεῖναι δὲ μήτε τοῖς
Ἐλευσινόθεν εἰς τὸ ἄστυ μήτε τοῖς ἐκ τοῦ ἄστεως
Ἐλευσῖνάδ' εἰσιέναι, πλὴν μυστηρίοις ἑκατέρους. συντε-
λεῖν δὲ ἀπὸ τῶν προσιόντων εἰς τὸ συμμαχικόν, καθά-
περ τοὺς ἄλλους Ἀθηναίους. ἐὰν δέ τινες τῶν ἀπιόν-* 3
*των οἰκίαν λαμβάνωσι Ἐλευσῖνι, συμπείθειν τὸν
κεκτημένον· ἐὰν δὲ μὴ συμβαίνωσιν ἀλλήλοις, τιμητὰς
ἑλέσθαι τρεῖς ἑκάτερον, καὶ ἥντιν' ἂν οὗτοι τάξωσιν
τιμὴν λαμβάνειν. Ἐλευσινίων δὲ συνοικεῖν οὓς ἂν
αὐτοὶ βούλωνται. τὴν δ' ἀπογραφὴν εἶναι τοῖς βου-* 4
*λομένοις ἐξοικεῖν, τοῖς μὲν ἐπιδημοῦσιν ἀφ' ἧς ἂν
ὀμόσωσιν τοὺς ὅρκους δ[έκ]α ἡμερῶν, τὴν δ' ἐξοίκησιν
εἴκοσι, τοῖς δ' ἀποδημοῦσι ἐπειδὰν ἐπιδημήσωσιν κατὰ
ταὐτά. μὴ ἐξεῖναι δὲ ἄρχειν μηδεμίαν ἀρχὴν τῶν ἐν* 5
*τῷ ἄστει τὸν Ἐλευσῖνι κατοικοῦντα, πρὶν ἂν ἀπογρά-*

---

1 ΠΙΡΑΙΩC pr., Є ad AI add. corr. 6 ΑΘΗΝΑΙΩΝ supra v. ab al. m. (del. W.-K., H.-L.). 7 ΤΟΡЄC pr. 8 *ἑαυτῶν* prius (Jackson) recte W.-K., K.³; tum ΤΑΑΥΤΩΝ. 12 ΔЄΙЄΝΑΙ, sed ·ΔЄΙCΙЄΝ· in mg. (Wn.); *δ' εἰσ.* W.-K.³ ΠΡΙΝ. ad *ἑκατ.* in mg. ·ЄΤЄ· 15 -ΩCΙΝ. 17 *ἑκάτερον* (Bury, Richards, Papabasil., Hude) W.-K., H.-L., K.³: ЄΚΑΤЄ-ΡΩΝ. 19 *αὐτοὶ* Richards, Herw.: *οὗτοι*. Nescio an etiam *οἳ* (*ὅσοι*) pro *οὓς* scr. sit. Dicitur *συνοικεῖν* de civitatis communione. ΒΟΥΛΟΝΤΑΙ. 21 ΟΜΩCΩCΙΝ. *δέκα* H.-L., W.K., K.³ 24 *ἀπογράψηται* (Bl.) W.-K., H.-L. (chart. ΑΠΟΓΡΑΨΗ|-ΨΗΤΑΙ, del. priore Ψ).

ψηται πάλιν ἐν τῷ ἄστει κατοικεῖν. τὰς δὲ ‖ δίκας τοῦ pag. 19
φόνου εἶναι κατὰ τὰ πάτρια, εἴ τίς τινα αὐτοχειρίᾳ
6 ἔκτεινεν ἢ ἔτρωσε. τῶν δὲ παρεληλυθότων μηδενὶ
πρὸς μηδένα μνησικακεῖν ἐξεῖναι, πλὴν πρὸς τοὺς
τριάκοντα καὶ τοὺς δέκα καὶ τοὺς ἕνδεκα καὶ τοὺς τοῦ
Πειραιέως ἄρξαντας, μηδὲ πρὸς τούτους, ἐὰν διδῶσιν
εὐθύνας. εὐθύνας δὲ δοῦναι τοὺς μὲν ἐν Πειραιεῖ
ἄρξαντας ἐν τοῖς ἐν Πειραιεῖ, τοὺς δ' ἐν τῷ ἄστει ἐν
τοῖς τὰ τιμήματα παρεχομένοις· εἴθ' οὕτως ἐξοικεῖν
τοὺς ⟨μὴ⟩ ἐθέλοντας. τὰ δὲ χρήματα ἃ ἐδανείσαντο εἰς
τὸν πόλεμον ἑκατέρους ἀποδοῦναι χωρίς.

XL. γενομένων δὲ τοιούτων τῶν διαλύσεων, καὶ
φοβουμένων, ὅσοι μετὰ τῶν τριάκοντα συνεπολέμησαν,
καὶ πολλῶν μὲν ἐπινοούντων ἐξοικεῖν, ἀναβαλλομένων
δὲ τὴν ἀπογραφὴν εἰς τὰς ἐσχάτας ἡμέρας, ὅπερ εἰώ-
θασι ποιεῖν ἅπαντες, Ἀρχῖνος συνιδὼν τὸ πλῆθος καὶ
βουλόμενος κατασχεῖν αὐτούς, ὑφεῖλεν τὰς ὑπολοίπους
ἡμέρας τῆς ἀπογραφῆς, ὥστε συναναγκασθῆναι μένειν
2 πολλοὺς ἄκοντας ἕως ἐθάρρησαν. καὶ δοκεῖ τοῦτό τε

TESTIM. 5 Bekk. Anecd. 235, 32.

1 τῷ s. v. (cf. c. 19, 2). 2 ΠΟΝΟΥ pr., ΦΟΝΟΥ superscr. al. m. 2 sq. ΑΥΤΟΧΙΡΑΕΚΤΙϹΙΕ(Ο Wn.)ΗΡΩϹΑϹΤΩΝ pr., s. v. Ε ad ΧΙΡ et ΚΤΙ, Ε vel ΙΕ (hoc sec. K.) ad Η; deletae litt. ΕΗ. In ipsa charta etiam peior confusio ductuum apparet quam in ect. Hinc αὐτοχειρίᾳ ἔκτεινεν (Wyse) W.-K., H.-L.; -όχειρ v. L., cf. Plat. Leg. IX, 865 B al. (v. S.); sic et ἀ-πέκτεινεν ego antehac; ἢ ἔτρωσεν W.-K., H.-L. (app.). 6 ΠΙ-ΡΑ$^{Ε}$ΙΑΙΩϹ 7 ΠΙΡΑΙΙ pr., -ΑΙΕΙ corr. 8 ΠΙΡΑΙΙ pr., -ΑΙΕΙ corr. δ' supra v. 9 cf. Wil. II, 217; puto τὸ τίμημα (app.).

10 ΤΟΥϹ$^{Δ}$ΕΘΕΛΟΝΤΑϹ (casu obscuratae litt. ΘΕ); Δ ab ead. m. Posui μὴ pro δὲ (neque enim in hoc decreto sicut c. 29. 30 ἐθέλειν pro βούλεσθαι obtinet), scripsique εἴθ' pro εἶθ' („sive qui nolunt, emigranto ut supra scriptum est"). Propter εἴτε cf. Plat. Soph. 224 E al. 14 ἐπινοούντων μὲν (Bl.) H.-L. (app.). 15 ἀπογραφὴν (Bl., H., Papabasil.) W.-K., H.-L.: ΑΝΑΓΡ. 15 sq. ΕΙΩΘΑϹΙΝ. 17 ΥΦΕΙΛΕ.

πολιτεύσασθαι καλῶς Ἀρχῖνος, καὶ μετὰ ταῦτα γραψάμενος τὸ ψήφισμα τὸ Θρασυβούλου παρανόμων, ἐν ᾧ μετεδίδου τῆς πολιτείας πᾶσι τοῖς ἐκ Πειραιέως συγκατελθοῦσι, ὧν ἔνιοι φανερῶς ἦσαν δοῦλοι, καὶ τρίτον, ἐπεί τις ἤρξατο τῶν κατεληλυθότων μνησικακεῖν, ἀπαγαγὼν τοῦτον ἐπὶ τὴν βουλήν, καὶ πείσας ἄκριτον ἀποκτεῖναι, λέγων ὅτι νῦν δείξουσι, εἰ βούλονται τὴν δημοκρατίαν σῴζειν καὶ τοῖς ὅρκοις ἐμμένειν· ἀφέντας μὲν γὰρ τοῦτον προτρέψειν καὶ τοὺς ἄλλους, ἐὰν δ' ἀνέλωσιν παράδειγμα ποιήσειν ἅπασιν. ὅπερ καὶ συνέπεσε· ἀποθανόντος γὰρ οὐδεὶς πώποτε ὕστερον ἐμνησικάκησεν. ἀλλὰ δοκοῦσι κάλλιστα δὴ καὶ πολιτικώτατα ἁπάντων καὶ ἰδίᾳ καὶ κοινῇ χρήσασθαι
ταῖς προγεγενημέναις συμφοραῖς· οὐ γὰρ μόνον τὰς 3
περὶ τῶν προτέρων αἰτίας ἐξήλειψαν, ἀλλὰ καὶ τὰ χρήματα Λακεδαιμονίοις, ἃ οἱ τριάκοντα πρὸς τὸν πόλεμον ἔλαβον, ἀπέδοσαν κοινῇ, κελευουσῶν τῶν συνθηκῶν ἑκατέρους ἀποδιδόναι χωρίς, τούς τ' ἐκ τοῦ ἄστεως καὶ τοὺς ἐκ τοῦ Πειραιέως, ἡγούμενοι τοῦτο πρῶτον ἄρχειν δεῖν τῆς ὁμονοίας· ἐν δὲ ταῖς ἄλλαις πόλεσιν οὐχ οἷόν τι προστιθέασιν τῶν οἰκείων οἱ δημοκρατή-
pag. 20 σαντες, ἀλλὰ καὶ τὴν ‖ χώραν ἀνάδ[ασ]το[ν] ποιοῦσιν.
διελύθησαν δὲ καὶ πρὸς τοὺς ἐν Ἐλευσῖνι κατοικήσαντας, 4
ἔτει τρίτῳ μετὰ τὴν ἐξοίκησιν, ἐπὶ Ξε[ν]αινέτου ἄρχοντος. 401/0

---

3 ΠΙΡΑΙΟΙϹ pr., -ΑΙЄΩϹ corr. 5 παρεληλ. ut c. 39, 6? Papageorg. 7 -ϹΙΝ. 11 -ϹЄΝ. 12 ἀλλὰ (Richards) recte W.-K., H.-L. ΔΟΚΟΥϹΙΝ. 18 ἀποδοῦναι Papabasil. ut c. 39 extr. 19 ΠΙΡΑΙΑΙΩϹ pr., corr. Є pro ΑΙ altero. 20 δεῖν] ΔЄΝ pr. 21 τι] ЄΤΙ (app.). δῆμοι κρατήσ. (v. L., Hude) W.-K., H.-L. Est δημοκρατήσ. ut μοναρχήσαντες, ὀλιγαρχήσαντες; cf. Lit. Centralbl. 1893, p. 1713; app. 22 vid. ΑΝΑΔΑΝΤΟΝ (-ΟΝΤΟΝ; -ΟΝΤΟ. Wn.) fuisse. 23 ἐν s. v. (del. H.-L.). ἐξοικήσ. legebatur falso (κατοικ. et. Wn., W.-K.[3]). Cf. app. 24 ΞЄ. ЄΝЄΤΟΥ sec. Wn., sed K. Α! potius agnoscit.

XLI. ταῦτα μὲν οὖν ἐν τοῖς ὕστε[ρο]ν συνέβη γενέσθαι καιροῖς, τότε δὲ κύριος ὁ δῆμος γενόμενος τῶν πραγμάτων, ἐνεστήσατο τὴν νῦν οὖσαν πολιτείαν, ἐπὶ 404/3 *Εὐκλείδου μὲν ἄρχοντος, δοκοῦντος δὲ δικαίως τοῦ δήμου λαβεῖν τὴν π[ο]λιτείαν, διὰ τὸ ποιήσασθαι τὴν

2 κάθοδον δι' ἑαυτοῦ τὸν δῆμον. ἦν δὲ τῶν μεταβολῶν ἑνδεκάτη τὸν ἀριθμὸν αὕτη. πρῶτον μὲν γὰρ ἐγένετο ⟨ἡ⟩ *κατάστασις τῶν ἐξ ἀρχῆς, Ἴωνος καὶ τῶν *παίδων αὐτοῦ συνοικησάντων· τότε γὰρ πρῶτον εἰς τὰς τέτταρας συνενεμήθησαν φυλάς, καὶ τοὺς φυλοβασιλέας κατέστησαν. δευτέρα δὲ καὶ πρώτη *μετάστασιν ἔχουσα πολιτείας τάξις ἡ ἐπὶ Θησέως γενομένη, μικρὸν παρεγκλίνουσα τῆς βασιλικῆς. μετὰ δὲ ταύτην ἡ ἐπὶ Δράκοντος, ἐν ᾗ καὶ νόμους ἀνέγραψαν πρῶτον. τρίτη δ' ἡ μετὰ τὴν στάσιν ἡ ἐπὶ Σόλωνος, ἀφ' ἧς ἀρχὴ δημοκρατίας ἐγένετο. τετάρτη δ' ἡ ⟦ἐπὶ⟧ Πεισιστράτου τυραννίς. πέμπτη δ' ἡ μετὰ ⟨τὴν⟩ τῶν τυράννων κατάλυσιν ἡ Κλεισθένους, δημοτικωτέρα τῆς Σόλωνος. ἕκτη δ' ἡ μετὰ τὰ Μηδικά, τῆς ἐξ Ἀρείου πάγου βουλῆς ἐπιστατούσης. ἑβδόμη δὲ ⟦καὶ μετὰ ταύτην⟧, ἣν Ἀριστείδης μὲν ὑπέδειξε, Ἐφιάλτης δ' ἐπετέλεσεν

TESTIM. § 2 Cato ap. Cic. de rep. II, 1, 2.

3 νῦν K. recte (et. Wn.). 4 Εὐκλείδου] Πυθοδώρου charta; app. (post ἄρχ. lac. stat. W.-K.). 5 ἐξουσία]ν K., πολιτ(ε)ιαν (Bl.²) confirmat Wn. (app.). 6 ΔΙΑΥΤΟΥ (Υ in fine postmodo additum ab ead. m.). τὸν δῆμον del. W.-K. (app.). 8 ΜΕΤΑΤΑCΙC Wn. (prob. K.), μετάστασις W.-K.³; [κα]τάστασις ego ed. 2, [ἡ κ]ατάστ. K.; v. app. ΑΙΩΝΟC pr. παίδων] ΜΕΤ (app.). 9 -κισάντων K. (corr. Bl., contra chart., ut putat K.). 10 ΤΕCCΑΡΑC. -σιλέας recte W.-K., H.-L. 11 ΜΕΤΑΤΑΥΤΗΝ, sed pr. -ΤΑΥΤΑ; tum ΕΧΟΥCΑΙ (Ι del.) ΠΟΛΙΤΕΙΑΝΤΑΞΙΝ; corr. πολ-ας Wyse, Pantazid.; et. τάξις Weil., Wil., sed hic (I, 186) ἔχ. τι πολ-ας, coll. Polit. B 1272 b, 9 (sic W.-K.³); ille μετάστασιν pro μετὰ ταύτην; v. app. 13 παρεκκλ. Bart. 16 ⟦ἐπὶ⟧ app. 20 δὲ καὶ] δὲ ἡ (Jos. Mayor, v. L.) W.-K., H.-L. Seclusi haec (app.). 21 -ΞΕΝ.

καταλύσας τὴν ⟦Ἀρεοπαγῖτιν⟧ βουλήν· ἐν ᾗ πλεῖστα συνέβη τὴν πόλιν διὰ τοὺς δημαγωγοὺς ἁμαρτάνειν διὰ τὴν τῆς θαλάττης ἀρχήν. ὀγδόη δ' ἡ τῶν τετρακοσίων κατάστασις, ⟦καὶ μετὰ ταύτην⟧ ἐνάτη δὲ δημοκρατία πάλιν. δεκάτη δ' ἡ τῶν τριάκοντα καὶ ⟦ἡ⟧ τῶν δέκα τυραννίς. ἑνδεκάτη δ' ἡ μετὰ τὴν ἀπὸ Φυλῆς καὶ ἐκ Πειραιέως κάθοδον, ἀφ' ἧς διαγεγένηται μέχρι τῆς νῦν, ἀεὶ προσεπιλαμβάνουσα τῷ πλήθει τὴν ἐξουσίαν. ἁπάντων γὰρ αὐτὸς αὑτὸν πεποίηκεν ὁ δῆμος κύριον, καὶ πάντα διοικεῖται ψηφίσμασιν καὶ δικαστηρίοις, ἐν οἷς ὁ δῆμός ἐστιν ὁ κρατῶν· καὶ γὰρ αἱ τῆς βουλῆς κρίσεις εἰς τὸν δῆμον ἐληλύθασι. καὶ τοῦτο δοκοῦσιν ποιεῖν ὀρθῶς· εὐδιαφθορώτεροι γὰρ ὀλίγοι τῶν πολλῶν εἰσιν καὶ κέρδει καὶ χάρισιν. 3 μισθοφόρον δὲ ἐκκλησίαν τὸ μὲν πρῶτον ἀπέγνωσαν ποιεῖν· οὐ συλλεγομένων δ' εἰς τὴν ἐκκλησίαν, ἀλλὰ πολλὰ σοφιζομένων τῶν πρυτάνεων, ὅπως προσιστῆται τὸ pag. 21 πλῆθος πρὸς τὴν ἐπι||κύρωσιν τῆς χειροτονίας, πρῶτον μὲν Ἀγύρριος ὀβολὸν ἐπόρισεν, μετὰ δὲ τοῦτον Ἡρακλείδης ὁ Κλαζομένιος ὁ βασιλεὺς ἐπικαλούμενος διώβολον, πάλιν δ' Ἀγύρριος τριώβολον.

XLII. ἔχει δ' ἡ νῦν κατάστασις τῆς πολιτείας τόνδε τὸν τρόπον. μετέχουσιν μὲν τῆς πολιτείας οἱ

---

TESTIM. 20 Hesych. *Κλαζομένιος* (ubi corrupte *βαῦς* pro *βασ.*).

---

3 ⟨*καὶ*⟩ *διὰ* H.-L. (it. at *διά* ⟨*τε*⟩ 2 Papageorg.), *κατὰ* Richards, ⟨*θαρρήσασαν*⟩ vel aliquid tale ci. W.-K. (app.). ΘΑΛΑΛΑΤΤΗC. 3 sq. ΟΓΔΟΗΝΔΗ — — ΚΑΤΑΤΑCΤΑCΙΝ (del. prius ΤΑ), corr. K. 4 iterum seclusi ⟦*καὶ μ. τ.*⟧; *δὲ* (*δὲ ἡ* sec. Wn., non improbante K.) del. (Jos. Mayor, al.) W.-K., H.-L. (app.). 5 *ἡ* post *καὶ* del. W.-K. (app.). 8 *τοῦ νῦν* H.-L. *προσεπιλαμβάνον τὸ πλῆθος τῆς ἐξουσίας* bene Condos (non interpungens post *νῦν*). 12 -CΙΝ. 13 -CΙ. ⟨*οἱ*⟩ *ὀλίγοι* (Condos, Gennadios) W.-K., H.-L. (ΟΛΙΓΟΝ chart.); app. 15 ⟨*τὴν*⟩ *ἐκκλησίαν* (ΔΕΚΛΗCΑΝ pr.) W.-K. 17 *σοφιζομ.* (Bl., Gomperz) W.-K., H.-L., idem agn. K.[3]

ἐξ ἀμφοτέρων γεγονότες ἀστῶν, ἐγγράφονται δ' εἰς
τοὺς δημότας ὀκτωκαίδεκα ἔτη γεγονότες. ὅταν δ' ἐγ-
γράφωνται, διαψηφίζονται περὶ αὐτῶν ὀμόσαντες οἱ
δημόται, πρῶτον μὲν εἰ δοκοῦσι γεγονέναι τὴν ἡλικίαν
τὴν ἐκ τοῦ νόμου, κἂν μὴ δόξωσι ἀπέρχονται πάλιν
εἰς παῖδας, δεύτερον δ' εἰ ἐλεύθερός ἐστι καὶ γέγονεν
κατὰ τοὺς νόμους. ἔπειτ' ἂν ⟦μὲν⟧ ἀποψηφίσωνται μὴ
εἶναι ἐλεύθερον, ὁ μὲν ἐφίησιν εἰς τὸ δικαστήριον, οἱ
δὲ δημόται κατηγόρους αἱροῦνται πέντε [ἄν]δρας ἐξ
αὑτῶν, κἂν μὲν μὴ δόξῃ δικαίως ἐγγράφεσθαι, πωλεῖ
τοῦτον ἡ πόλις· ἂν δὲ νικήσῃ, τοῖς [δ]ημόταις ἐπά-
2 ναγκες ἐγγράφειν. μετὰ δὲ ταῦτα δοκιμάζει τοὺς ἐγ-
γραφέντας ἡ βουλή, κἄν τις δόξῃ νεώτερος ὀκτωκαίδεκ'
ἐτῶν εἶναι, ζημιοῖ [το]ὺς δημότας τοὺς ἐγγράψαντας.
ἐπὰν δὲ δοκιμασθῶσιν οἱ ἔφηβοι, συλλεγέντες οἱ πα-
τέρες αὐτῶν [κ]ατὰ φυλάς, ὀμόσαντες αἱροῦνται τρεῖς
ἐκ τῶν φυλετῶν τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονό-
των, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι καὶ ἐπιτηδειο-
τάτους ἐπιμελεῖσθαι τῶν ἐφήβων, ἐκ δὲ τούτων ὁ δῆ-
μος ἕνα τῆς φυλῆς ἑκάστης χειροτονεῖ σωφρονιστήν,
καὶ κοσμητὴν ἐκ τῶν ἄλλων Ἀθηναίων ἐπὶ πάντας.
3 σ[υ]λλαβόντες δ' οὗτοι τοὺς ἐφήβους, πρῶτον μὲν τὰ
ἱερὰ περιῆλθον, εἶτ' εἰς Πειραιέα πορεύονται, καὶ φρου-

TESTIM. 7 Phot. ἔφεσις. 12 *schol. Aristoph. Vesp. 578. 20 Phot. σωφρονιστής. Bekk. An. 301.

2 -ΔΕΚΑΕΤΕΙϹ, sed. adscr. v. l. ΕΤΗ. 2 sq. ΔΕΓΡΑΦ, corr. (Wyse, Bl., al.) W.-K., H.-L. 6 -ΝΕ. 7 ΕΠΙΨΗΦ, corr. (Wyse, Bl., al.) c. Phot. W.-K., H.-L. μὲν del. Papageorg. Cf. c. 48, 5 (app.). 11 ἂν] ΗΑΝ, pr. litt. fort. deleta; ἐὰν alii (app.). 12 ἐγγράφειν H.-L. recte. 15 ἐπειδὰν H.-L. 16 κατὰ (Condos) H.-L., W.-K., K.[3] 17 ΤΕΤΤΑΡΑΚΟΤΑ. 21 κοσμητὴν (Paton) W.-K., H.-L., K.[3] πάντας W.-K., H.-L., Poland. 22 [παρα]λαβόντες H.-L., ut c. 49, 2.

ροῦσιν οἱ μὲν τὴν Μουνιχίαν, οἱ δὲ τὴν Ἀκτήν. χειροτ[ο]νεῖ δὲ καὶ παιδοτρίβας αὐτοῖς δύο καὶ διδασκάλους, οἵτινες ὁπλομαχεῖν καὶ τοξεύειν καὶ ἀκοντίζειν καὶ καταπάλτην ἀφιέναι διδάσκουσιν. δίδωσι δὲ καὶ εἰς τροφ[ὴ]ν τοῖς μὲν σωφρονισταῖς δραχμὴν α' ἑκάστῳ, τοῖς δ' ἐφήβοις τέτταρας ὀβολοὺς ἑκάστῳ· τὰ δὲ τῶν φυλετῶν τῶν αὑτοῦ λαμβάνων ὁ σωφρονιστὴς ἕκαστος, ἀγοράζει τὰ ἐπιτήδεια πᾶσιν εἰς τὸ κοινόν (συσσιτοῦσιν γὰρ κατὰ φυλάς), καὶ τῶν ἄλλων ἐπιμελεῖται πάντων. καὶ τὸν μὲν πρῶτον ἐνιαυτὸν οὕτως 4 διάγουσι· τὸν δ' ὕστερον ἐκκλησίας ἐν τῷ θεάτρῳ pag. 22 γενομένης, ἀποδειξάμενοι τῷ δήμῳ ‖ τὰ περὶ τὰς τάξεις, καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τῆς πόλεως, περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. φρουροῦσι δὲ τὰ δύο ἔτη χλαμύδας ἔχον- 5 τες, καὶ ἀτελεῖς εἰσι πάντων· καὶ δίκην οὔτε διδόασιν οὔτε λαμβάνουσιν, ἵνα μὴ πρό[φ]ασις ᾖ τ[ο]ῦ ἀπιέναι, πλὴν περὶ κλήρου καὶ ἐπικλήρου, κἄν τινι κατὰ τὸ γένος ἱερωσύνη γένηται. διεξελθόντων δὲ τῶν δυεῖν ἐτῶν, ἤδη μετὰ τῶν ἄλλων εἰσίν.

XLIII. τὰ μὲν οὖν περὶ τὴν τῶν πολιτῶν ἐγγραφὴν καὶ τοὺς ἐφήβους τοῦτον ἔχει τὸν τρόπον. τὰς δ' ἀρχὰς τὰς περὶ τὴν ἐγκύκλιον διοίκησιν ἁπάσας

---

TESTIM. 11—15 *Harp. περίπολος. schol. Aeschin. 2, 167.

---

1 ΜΟΥΝΥΧ. 3 οἵτινες K. recte. 4 ΚΑΤΗΝ pr., ΚΑΤΑΠΕΛΤΗΝ corr.; -άλτην W.-K., H.-L., K.³ διδάξουσιν (Rutherf., H.) H.-L. 9 CYCCITOYCI. 9 sq. ЄΠΙΜЄΛΗΤΑΙ, Τ corr. ex Μ (K.). 11 διάγουσι (v. L., Condos) chart., W.-K., H.-L., K.³ τὸν δ' ὕστερον] τὸν δὲ δεύτερον (τὸν δεύτ. Harpocr., οἱ γὰρ ἔφ. τὸν δ. schol. Aesch.) W.-K. 12 γενομ. (Hude, Bl.) W.-K., H.-L., K.³ (chart.). ἐπιδειξάμ. H.-L. (ἀποδεξ. Harp., ἀποδειξ. Dittenb.). τὰ om. Harp. 13 παρὰ τοῦ δήμου Harp. schol. Aesch. 17 πρόφ. ᾖ τ. ἀπ. agnovi et in ectypo et in charta. 18 sq. κατὰ γένος W.-K. 19 ΙЄΡΟC. ΔΙЄΞЄΛΘΟΙΝΤΩΝ.

ποιοῦσι κληρωτάς, πλὴν ταμίου στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ θεωρικὸν καὶ τοῦ τῶν κρηνῶν ἐπιμελητοῦ. ταύτας δὲ χειροτονοῦσιν, καὶ οἱ χειροτονηθέντες ἄρχουσιν ἐκ Παναθηναίων εἰς Παναθήναια. χειροτονοῦσιν δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἁπάσας.

2 βουλὴ δὲ κληροῦται φʹ, νʹ ἀπὸ ⟨τῆς⟩ φυλῆς ἑκάστης. πρυτανεύει δ' ἐν μέρει τῶν φυλῶν ἑκάστη καθ' ὅ τι ἂν λάχωσιν, αἱ μὲν πρῶται τέτταρες ἓξ καὶ λʹ ἡμέρας ἑκάστη, αἱ δὲ ϛʹ αἱ ὕστεραι πέντε καὶ λʹ ἡμέρας
3 ἑκάστη· κατὰ σελήνην γὰρ ἄγουσιν τὸν ἐνιαυτόν. οἱ δὲ πρυτανεύοντες αὐτῶν πρῶτον μὲν συσσιτοῦσιν ἐν τῇ θόλῳ, λαμβάνοντες ἀργύριον παρὰ τῆς πόλεως, ἔπειτα συνάγουσιν καὶ τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν ⟦οὖν⟧ βουλὴν ὅσαι ἡμέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. καὶ ὅσα δεῖ χρηματίζειν τὴν βουλήν, καὶ ὅ τι ἐν ἑκάστῃ
4 τῇ ἡμέρᾳ, καὶ *ὅπου καθίζειν, οὗτοι προγράφουσι. προγράφουσι δὲ καὶ τὰς ἐκκλησίας οὗτοι· μίαν μὲν κυρίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἐπιχειροτονεῖν εἰ δοκοῦσι καλῶς ἄρχειν, καὶ περὶ σίτου καὶ περὶ φυλακῆς τῆς χώρας χρηματίζειν, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαι, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγιγνώσκειν, καὶ τὰς λήξεις τῶν

---

TESTIM. 8 *Harp. πρυτανείας, cf. schol. Plat. Leg. XII. Phot. πρυτανεία. Schol. Hermog. V, 509 W. (S.) § 3—6 Poll. 8, 95, 96. § 3. 4 *Harp. κυρία ἐκκλησ. *lex. Cantabr. κυρία ἐκκλησία (usque ad 70, 4 ⟨ποιεῖν⟩ ἢ μή). Hesych. κυρία ἐκκλ.

---

1 ΠΛΗΡΩΤΑC. 2 κρηνῶν] v. C. I. Att. IV 169b. 4 -ΝΟΥCΙ. 6 addidi τῆς. 10 κατὰ σελήνην .. ἐνιαυτόν del. Lipsius H. (agn. schol. Plat. Phot.). 13 καὶ τὴν W.-K. recte. 14 οὖν del. (coll. Harp.) W.-K., H.-L. (app.). ὁσημέραι K. ΠΛΗΝΕΝΑΝ. 16 ΧΡΗΜΑΤΙΖΕΙ. ΚΑΙΟΤΙ a corr., sed ead. pr. 17 ὅπου W.-K.: ΟΤΙΟΥ. ΚΑΘΙΖΕΙ chart.; corr. W.-K. 19 ἀποχ. οἱ (εἰ N) δοκ. μὴ Harp. 20 φυλ. δὲ τῆς id.

*κλήρων καὶ τῶν ἐπικλήρων ⟦ἀναγινώσκειν⟧, ὅπως μη-*
*δένα λάθῃ μηδὲν ἔρημον γενόμενον. ἐπὶ δὲ τῆς ἕκτης* 5
*πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ τῆς ὀστρα-*
*κοφορίας ἐπιχειροτονίαν διδόασιν, εἰ δοκεῖ ποιεῖν ἢ μή,*
*καὶ συκοφαντῶν προβολὰς τῶν Ἀθηναίων καὶ τῶν με-*
*τοίκων μέχρι τριῶν ἑκατέρων, καὶ ἄν τ[ι]ς ὑποσχόμενός*
*τι μὴ ποιήσῃ τῷ δήμῳ. ἑτέραν δὲ ταῖς ἱκετηρίαις, ἐν* 6
*ᾗ θεὶς ὁ βουλόμενος ἱκετηρίαν, [ὑπὲρ] ὧν ἂν βούλη-*
pag. 23 *ται ‖ καὶ ἰδίων καὶ δημοσίων διαλέξεται πρὸς τὸν δῆ-*
*μον. αἱ δὲ δύο περὶ τῶν ἄλλων εἰσίν, ἐν αἷς κελεύ-*
*ουσιν οἱ νόμοι τρία μὲν ἱερῶν χρηματίζειν, τρία δὲ*
*κήρυξι καὶ πρεσβείαις, τρία δὲ ὁσίων. χρηματίζουσιν*
*δ' ἐνίοτε καὶ ἄνευ προχειροτονίας. προσέρχονται δὲ*
*καὶ οἱ κήρυκες καὶ οἱ πρέσβεις τοῖς πρυτάνεσι πρῶ-*
*τον, καὶ οἱ τὰς ἐπιστολὰς φέροντες τούτοις ἀποδιδόασιν.*

XLIV. *ἔστι δ' ἐπιστάτης τῶν πρυτάνεων εἷς ὁ λαχών· οὗτος δ' ἐπιστατεῖ νύκτα καὶ ἡμέραν, καὶ οὐκ ἔστιν οὔτε πλείω χρόνον, οὔτε δίς τὸν αὐτὸν γενέσθαι. τηρεῖ δ' οὗτος τάς τε κλεῖς τὰς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματ' ἐστὶν καὶ ⟨τὰ⟩ γράμματα τῇ πόλει, καὶ τὴν δημοσίαν σφραγῖδα, καὶ μένειν ἀναγκαῖον ἐν*

---

1 *ἀναγιν.* del. (Gennadios) W.-K. Conf. lex. Cant. et Poll. 3 ΗΡΗΜΕΝΟΙϹ. 4 *προχειρ.* (quod et. in lex. Cant. pro *ἐπιχ.* a Meiero scr. est) W.-K., coll. Philochoro lex. Cant. v. *ὀστρακισμοῦ* (recte fort.; cf. v. 13). 6 ΚΑΝ *κἄν* (Bl., Fränkel, Lipsius) H.-L., K.³, W.-K.³ (charta sec. Wn. K.). 8 ΟΥΒΟΥΛ. *ὑπὲρ* (*ὑ*') recte ut vid. H.-L. (cf. 71, 7); om. K., [*περὶ*] (Condos, Lipsius, Gertz) W.-K. 9 ΔΙΑΔΕΞ (*διαλέγεται* H.-L.). 11 *τρία μὲν*] cf. Kb. p. 206. ⟨*προχειροτονίαις*⟩ *τρισὶ μὲν* ⟨*ὑπὲρ*⟩ .. *τρισὶ δὲ* .. *τρισὶ δ'* ⟨*ὑπὲρ*⟩ Papabasil.; it. ⟨*προχειροτονίᾳ*⟩ Papageorg., servato accusat.; bene Sakell. *ὁσίων.* ⟨*χρηματίζουσι δ' οἱ πρυτάνεις περὶ τούτων προχ-*⟨*αν διδόντες.*⟩ ΤΡΙϹΙΔΕ,ʼadscr. v.l. (*τρί*)*α*.
12 -ΞΙΝ. *τρία δ' ὁσίων*] adscr. v.l. ϹΥΡΑΚΟϹΙΩΝ (i. e. *τέσσαρα δ' ὁσ.*? W.-K.; cf. Wil. II, 254; ex ϹΤΡΙΑΔΟϹ. bene explicat Sakell.). 14 -ϹΙΝ. 15 -ϹΙ. 19 ΚΛΕΙϹ (W.-K.) recte legit K.³ (ΚΛΗϹ *κλῇς* K.¹), H.-L. (cf. *ὄρνῖς* acc. plur.). 20 *τὰ* add. e gramm. W.-K., H.-L.

τῇ θόλῳ τοῦτόν ἐστιν, καὶ τριττὺν τῶν πρυτάνεων ἣν
2 ἂν οὗτος κελεύῃ. καὶ ἐπειδὰν συναγάγωσιν οἱ πρυ-
τάνεις τὴν βουλὴν ἢ τὸν δῆμον, οὗτος κληροῖ προέ-
δρους ἐννέα, ἕνα ἐκ τῆς φυλῆς ἑκάστης πλὴν τῆς
πρυτανευούσης, καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα,
3 καὶ παραδίδωσι τὸ πρόγραμμα αὐτοῖς· οἳ δὲ παραλα-
βόντες τῆς τ' εὐκοσμίας ἐπιμελοῦνται, καὶ ὑπὲρ ὧν
δεῖ χρηματίζειν προτιθέασιν, καὶ τὰς χειροτονίας κρί-
νουσιν, καὶ τὰ ἄλλα πάντα διοικοῦσιν, καὶ τοῦ ⟦τ'⟧
ἀφεῖναι κύριοί εἰσιν. καὶ ἐπιστατῆσαι μὲν οὐκ ἔξεστιν
πλεῖον ἢ ἅπαξ ἐν τῷ ἐνιαυτῷ, προεδρεύειν δ' ἔξεστιν
ἅπαξ ἐπὶ τῆς πρυτανείας ἑκάστης.
4 ποιοῦσι δὲ καὶ ἀρχαιρεσίας στρατηγῶν καὶ ἱππάρ-
χων καὶ τῶν ἄλλων τῶν πρὸς τὸν πόλεμον ἀρχῶν ἐν
τῇ ἐκκλησίᾳ, καθ' ὅ τι ἂν τῷ δήμῳ δοκῇ· ποιοῦσι δ'
οἱ μετὰ τὴν ϛ' πρυτανεύοντες, ἐφ' ὧν ἂν εὐσημία γέ-
νηται. δεῖ δὲ προβούλευμα γενέσθαι καὶ περὶ τούτων.

XLV. ἡ δὲ βουλὴ πρότερον μὲν ἦν κυρία, καὶ χρή-
μασιν ζημιῶσαι καὶ δῆσαι καὶ ἀποκτεῖναι, καὶ Λυσί-
μαχον αὐτῆς ἀγαγούσης ὡς τὸν δήμιον, καθήμενον

---

TESTIM. § 1. 2 Pollux 8, 96. Suid. et Et. M. ἐπιστάται. Telephus apud Eustath. ad ρ 455. schol. Patmiac. ad Demosth. p. 13 Sakkel. *Harp. ἐπιστάτης. § 2. 3 *Harp. πρόεδροι (Phot. πρόεδροι. Bekk. An. 290). schol. Patm. Demosth. p. 12 Sakk.

---

1 τοῦτόν τ' ἐστίν W.-K., ⟨καὶ⟩ τ. ἐ. Papageorg. 8 pro v. l. inter χρημ. et προτ. adscr. ΔЄΙΚ(ΑΙ), unde δεῖ h. l. W.-K., del. δεῖ ante χρημ. 9 τά τ' ἄλλα W.-K. τ' del. (Richards, Bl.) W.-K.; τοῦ τὴν ἐκκλησίαν ἀφ. (Rutherf.) H.-L., τοῦ γ' ἀφ. Piccolomini (app.). 11 πλέον H.-L. ἔξεστιν del. Gennadios.
13 ΔЄΚΑΙΔЄΚΑΡΧ, corr. (S., al.) W.-K., H.-L., K.[3] 16 ΜЄΤΑ-ΤΑΤΗΝ. ЄΥϹΗΜЄΙΑ, adscr. v. l. (ЄΥϹΗΜ)Ι(Α), quasi illud εὖ σημεῖα sit. 17 γίνεσθαι W.-K. (app.). 19 lac. post ἀποκτ. W.-K.; ⟦καὶ⟧ Λ. ⟨δ'⟩ Papageorg.

ἤδη ⟨καὶ⟩ μέλλοντα ἀποθνῄσκειν Εὐμηλίδης ὁ Ἀλωπεκῆθεν ἀφείλετο, οὐ φάσκων δεῖν ἄνευ δικαστηρίου γνώσεως οὐδένα τῶν πολιτῶν ἀποθνῄσκειν· καὶ κρίσεως ἐν δικαστηρίῳ γενομένης, ὁ μὲν Λυσίμαχος ἀπέφυγεν, καὶ ἐπωνυμίαν ἔσχε ὁ ἀπὸ τοῦ τυπάνου, ὁ δὲ δῆμος ἀφείλετο τῆς βουλῆς τὸ θανατοῦν καὶ δεῖν καὶ χρήμασι ζημιοῦν, καὶ νόμον ἔθετο, ἄν τινος ἀδικεῖν ἡ βουλὴ καταγνῷ ἢ ζημιώσῃ, τὰς καταγνώσεις καὶ τὰς ἐπιζημιώσεις εἰσάγειν τοὺς θεσμοθέτας εἰς τὸ δικαστήριον, καὶ ὅ τι ἂν οἱ δικασταὶ ψηφίσωνται, τοῦτο κύριον εἶναι.

pag. 24 κρίνει δὲ ‖ τὰς ἀρχὰς ἡ βουλὴ τὰς πλείστας, μάλισθ' 2
ὅσαι χρήματα διαχειρίζουσιν· οὐ κυρία δ' ἡ κρίσις, ἀλλ' ἐφέσιμος εἰς τὸ δικαστήριον. ἔξεστι δὲ καὶ τοῖς ἰδιώταις εἰσαγγέλλειν ἣν ἂν βούλωνται τῶν ἀρχῶν, μὴ χρῆσθαι τοῖς νόμοις· ἔφεσις δὲ καὶ τούτοις ἐστὶν εἰς τὸ δικαστήριον, ἐὰν αὐτῶν ἡ βουλὴ καταγνῷ.

δοκιμάζει δὲ καὶ τοὺς βουλευτὰς τοὺς τὸν ὕστερον 3
ἐνιαυτὸν βουλεύσοντας καὶ τοὺς ἐννέα ἄρχοντας. καὶ πρότερον μὲν ἦν ἀποδοκιμάσαι κυρία, νῦν δὲ ⟨καὶ⟩ τούτοις ἔφεσίς ἐστιν εἰς τὸ δικαστήριον.

τούτων μὲν οὖν ἄκυρός ἐστιν ἡ βουλή· προβου- 4
λεύει δ' εἰς τὸν δῆμον, καὶ οὐκ ἔξεστιν οὐδὲν ἀπροβούλευτον οὐδ' ὅ τι ἂν μὴ προγράψωσιν οἱ πρυτάνεις ψηφίσασθαι τῷ δήμῳ· κατ' αὐτὰ γὰρ ταῦτα ἔνοχός ἐστιν ὁ νικήσας γραφῇ παρανόμων.

---

1 ⟨καὶ⟩ Jos. Mayor (καὶ αὐθημερὸν ἤδη ci. S. coll. Aesch. 1, 16). Cf. app. ΕΥΜΗΛΕΙΔΗϹ; at -ίδης (W.-K., H.-L., K.[3]) inscr. Att., quamquam Φιλομηλείδης est ap. Hom. δ 343 et in inscr. Att. C. I. A. II, 985 E (-είδας), Wilam. II, 196. Cf. app.
1 sq. ΑΛΩΠΕΘΗΚΕΝ. 5 ΕϹΧΕΝ. 8 sq. ζημιώσεις (Wyse, H.) H.-L. (aut ἐπιζημιώσῃ 8, Papageorg.), app. 11 μάλιστα δ' Richards. 13 ΑΛΛΕ . ΦΕϹ (videtur rasura esse), ἀλλ' ἔτ' ἐφ. (v. L.) H.-L. 19 ⟨καὶ⟩ W.-K. 24 κατὰ γὰρ (Condos) H.-L.; v. Demosth. 20, 96.

XLVI. ἐπιμελεῖται δὲ καὶ τῶν πεποιημένων τριήρων καὶ τῶν σκευῶν καὶ τῶν νεωσοίκων, καὶ ποιεῖται καινὰς ⟦δὲ⟧ τριήρεις ἢ τετρήρεις, ὁποτέρας ἂν ὁ δῆμος χειροτονήσῃ, καὶ σκεύη ταύταις καὶ νεωσοίκους· χειροτονεῖ δ' ἀρχιτέκτονας ὁ δῆμος ἐπὶ τὰς ναῦς. ἂν δὲ μὴ παραδῶσιν ἐξειργασμένα ταῦτα τῇ νέᾳ βουλῇ, τὴν δωρεὰν οὐκ ἔστιν αὐτοῖς λαβεῖν· ἐπὶ γὰρ τῆς ὕστερον βουλῆς λαμβάνουσιν. ‖ ποιεῖται δὲ τὰς τριήρεις, δέκα pag. 25
2 ἄνδρας ἐξ αὐ[τ]ῆς ἑλομένη τριηροποιούς. ἐξετάζει δὲ καὶ τὰ οἰκοδομήματα τὰ δημόσια πάντα, κἄν τις ἀδικεῖν αὐτῇ δόξῃ, τῷ τε δήμῳ τοῦτον [ἀπ]οφαίνει, καὶ καταγνόντος παραδίδωσιν δικαστηρίῳ.

XLVII. συνδιοικεῖ δὲ καὶ ταῖς ἄλλαις ἀρχαῖς τὰ πλεῖστα. πρῶτον μὲν γὰρ οἱ ταμίαι τῆς Ἀθηνᾶς εἰσὶ μὲν δέκα, κλη[ροῦτα]ι δ' εἷς ἐκ τῆς φυλῆς, ἐκ πεντακοσιομεδίμνων κατὰ τὸν Σόλωνος νόμον (ἔτι γὰρ ὁ νόμος κύριός ἐστιν), ἄρχει[x)] δ' ὁ λαχὼν κἂν πάνυ πένης ᾖ. παραλαμβάνου[σι] δὲ τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρ[ήμ]ατα ἐναντίον τῆς βουλῆς.

2 ἔπειθ' οἱ πωληταὶ ι' μέν εἰσι, κληροῦται δ' εἷς ἐκ τῆς φ[υλῆς. μ]ισθοῦσι δὲ τὰ μισθώματα πάντα, καὶ τὰ μέταλλα πωλοῦσι, καὶ τὰ τέλη μετὰ τοῦ ταμίου τῶν στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ θεωρικὸν ᾑρημένων ἐναντίον τῆς βουλῆς, καὶ ⟨κατα⟩κυροῦσιν, ὅτῳ ἂν ᾖ

---

TESTIM. XLVII § 1 *Harp. ταμίαι. Bekk. An. 306. Phot. Suid. ταμίαι. Pollux 8, 97. § 2. 3 Harp. πωληταί. Bekk. An. 291. lex. Demosth. Patm. p. 14 Sakk. § 2 Poll. 8, 99.

---

3 δὲ del. K. 8 incipit Γ̄ ΤΟΜΟϹ, v. praef. 9 αὐ[τ]ῆς Wn., W.-K.³ (ἑαυτῆς Wayte); legebatur αὐτῶν vel (K.) ἁπάντων. 12 ΚΑΤΑΓΝΟΥϹΑ, em. W.-K. ΠΑΡΑΔΙΔΩϹΙ ⟨τῷ⟩ δικ. (Gennadios, Naber) H.-L. Cf. Kb. p. 208; app. 15 κληροῦται δ' (Gertz) W.-K., H.-L., K.³ 25 καὶ (Papageorg., omittebatur

x) ἄρχει: Kaib.-Kiessl. übers. „amtiert", bezieht es also auf das Amt des ταμίας τῆς Ἀθηνᾶς. ~~Ist ἄρχειν = Archon sein?~~

βουλὴ χειροτονήσῃ, καὶ τὰ πραθέντα μέταλλα, τά τ'
ἐργάσιμα τὰ εἰς τρία ἔτη πεπραμένα, καὶ τὰ συγκεχω-
ρημένα τὰ εἰς . ἔτ[η] πεπραμένα. καὶ τὰς οὐσίας τῶν
ἐξ Ἀρείου πάγου φευγόντων καὶ τῶν ἄλ[λων] ἐναν-
τί[ον τῆς β]ουλῆς πωλοῦσιν, κατακυροῦσι δ' οἱ θ' ἄρ-
χοντες. καὶ τὰ τέλη τὰ εἰς ἐνιαυτ[ὸ]ν πεπραμένα, ἀνα-
γράψαντες εἰς λελευκωμένα γραμματεῖα τόν τε πριά-
μενον καὶ [ὅσ]α ἂν πρίηται, τῇ βουλῇ παραδιδόασιν.
ἀναγράφουσιν δὲ χωρὶς μέν, οὓς δεῖ κατὰ ⟨τὴν⟩ πρυ- 3
τανείαν ἑκάστην καταβάλλειν, εἰς δέκα γραμματεῖα,
χωρὶς δὲ οὓς τρὶ[ς] τοῦ [ἐ]νιαυτοῦ, γραμματεῖον κατὰ
τὴν καταβολὴν ἑκάστην ποιήσαντες, χωρὶς δ' οὓς [ἐπ]ὶ
τῆς ἐνάτης πρυτανείας. ἀναγράφουσι δὲ καὶ τὰ χωρία
καὶ τὰς οἰκίας, τὰ ἀ[πὸ]γρα[φ]έντα καὶ πραθέντα ἐν τῷ
δικαστηρίῳ· καὶ γὰρ ταῦθ' οὗτοι πωλοῦσιν. ἔστι δὲ
τῶν μὲν οἰκιῶν ἐν ε' ἔτεσιν ἀνάγκη τὴν τιμὴν ἀπο-
δοῦναι, τῶν δὲ χωρίων ἐν δέκα· καταβάλλουσιν δὲ
ταῦτα ἐπὶ τῆς ἐνάτης πρυτανείας. εἰσφέρει δὲ καὶ ὁ 4
βασιλεὺς τὰς μισθώσεις τῶν τεμενῶν, ἀναγράψας ἐν
γραμματείο[ις λελ]ευκωμένοις. ἔστι δὲ καὶ τούτων ἡ

---

antea) ⟨κατα⟩κ. Wn., W.-K.[3] (καταχ. K.). 1 τά τ' W.-K. (nunc Wn.): [ὅσα] K. Sequuntur litt. deletae, ЄP vel ЄΓ sec. K.[2]

2 sq. συγκεχωσμένα Poland, Busolt. 3 τὰ ε[ἰ]ς. ἔ[τη] W.-K.[1.2], K.[3]; interiecta erat numeri nota, fort. ι (superest post eam aliquantum spatii, quod vacuum fuisse potest; ductum transversum super num. iam K. vidit); Wn. autem γ̄ (cf. K.[3]) agnovit (ita W.-K.[3]), unde τὰ εἰς τρία ἔτη πεπρ. 2 del. (Wil.) W.-K.[3] 4 ΑΛΛ agnovi, neque propter angustias spatii aliud quam ' (i. e. ων) suppleri posse visum; [ἄλλοθεν] Bl.[1]; ἄλλων ci. Kb. (Papageorg.); sed Wn. (W.-K.[3]) v. 4 sq. τῶν . . . . . ἐπ(ΕΓ Wn.)[ὶ] τῆς β.

7 sq. τόν τε πριάμ. κ. ὅσου (Tyrrell, qui ὁπόσου) W.-K., H.-L. (hi ὁπόσου), K.[3], non recte. Affirmant etiam K. et Wn. reliquias A potius quam Y indicare. 9 τὴν addidi. 11 τρὶς τοῦ W.-K. 14 τὰ ἀπογραφέντα (Wyse) W.-K., H.-L., K.[3] 15 π. ἔστι δὲ W.-K., K.[3] 18 εἰσφέρει W.-K., K.[3] 19 Τ(ΩΝ)-Μ(ЄΝ)ΩΝ, corr. (Wyse, Bl., coll. Dem. 43, 58) W.-K., H.-L. 20 γραμματείοις λελευκ. (Jackson, L.) W.-K., H.-L., K.[3]

μὲν μίσθωσις εἰς ἔτη δέκα, καταβάλλεται δ' ἐπὶ τῆς [θ'] πρυτανείας· διὸ καὶ πλεῖστα χρήματα ἐπὶ ταύτης συλλέγεται τῆς πρυτανείας. εἰσφέρεται μὲν οὖν εἰς τὴν βουλὴν τὰ γραμματεῖα κατὰ τὰς καταβολὰς ἀναγεγραμμένα, τηρεῖ δ' ὁ δημόσιος· ὅταν δ' ᾖ χρημάτων [κατα]βολή, παραδίδωσι τοῖς ἀποδέκταις αὐτὰ ταῦτα καθελ[ὼν] ἀπ[ὸ τῶν] ἐπιστυλίων, ὧν ἐν ταύτῃ τῇ ἡμέρᾳ δεῖ τὰ χρήματα καταβληθ[ῆν]αι καὶ ἀπαλειφθῆναι· τὰ δ' ἄλλα ἀπόκειται χωρίς, ἵνα μὴ προεξαλ[ειφθῇ].

XLVIII. εἰσὶ δ' ἀποδέκται δέκα κεκληρωμένοι κατὰ φυλάς· οὗτοι δὲ παραλαβόντες τὰ γρ[α]μματεῖα, ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα ἐναντίον τ[ῆς βουλῆς] ἐν τῷ βουλευτηρίῳ, καὶ πάλιν ἀποδιδόασιν τὰ γραμματεῖα τ[ῷ δη]μοσίῳ· κἄν τις ἐλλίπῃ καταβολήν, ἐνταῦθ' ἐγγέγραπται, καὶ διπλά[σιον ἀ]νάγκη τὸ [ἐλλ]ειφθὲν καταβάλλειν ἢ δεδέσθαι, καὶ ταῦτα εἰσπράτ[τειν ἡ βο]υλὴ καὶ δῆσαι [κυ]ρία κατὰ τοὺς νόμους ἐστίν.
2 τῇ μὲν οὖν προτεραίᾳ δέχονται τὰς [καταβολὰ]ς καὶ μερίζουσι ταῖς ἀρχαῖς, τῇ δ' ὑστεραίᾳ τόν τε μερισμὸν εἰσφέ[ρου]σι γράψαντες ἐν σανίδι καὶ καταλέγουσιν ἐν τῷ βουλευτηρίῳ, καὶ προ[τιθ]έασιν ἐν τῇ βουλῇ, εἴ

TESTIM. 48 § 1. 2 Bekk. An. 198. 427. *Harp. ἀποδέκται.

4 Κ post γραμμ. recte agn. K.; puto notam fuisse κατά vocis, cf. 74, 11; τὰς στήλας ἃς οὗτος ἀνέγραψε Lys. 30, 21 ([τὰ] Pantazid., W.-K.$^{2}$ et ego ed. 1; τὰ W.-K.$^{3}$). 7 καθελὼν ἀπὸ τῶν H.-L., Pantazid., Papabasil. (K.$^{3}$, W.-K.$^{3}$). 8 δεῖ K. agn. ante τὰ χρ. (correctam esse nunc scribit vocis ἡμέρα ultimam litt.); καταβληθῆναι καὶ ἀπ. W.-K. ΑΛЄΙΦΗΝΑΙ; sed -φθῆναι omnes, app. 9 προεξαλειφθῇ (sine uncis) W.-K., Pantazid., Poland, K.$^{3}$ (app.). 15 ЄΝΤЄΥΘЄΝΓЄ, corr. (H., Condos, Gertz, al.) W.-K., H.-L. διπλά[σιον Bl.$^{2}$, W.-K.$^{3}$: legebatur διπλο[ῦν. Α]ΝΑΓΚΗΙΤΟ. 18 legebatur τὰ χρ[ήματα] falso; ΤΑϹ et ante καὶ Ϲ certo agnovi; post ΤΑϹ vel Τ vel κατα?, hinc καταβολὰς Kb. Sed Wn. Τ vel Π; hinc π[άσα]ς (Kb.) W.-K.$^{3}$, non improbante K. V. app. 20 εἰσφέρουσι (Pantazides) W.-K., H.-L., K.$^{3}$ 21 προτιθέασιν (Sandys, Condos) W.-K., H.-L., K.$^{3}$

*τίς τινα οἶδεν ἀδικοῦντα περὶ τὸν μερισμ[ὸν ἢ ἄρ]χοντα ἢ ἰδιώτην, καὶ γνώμας ἐπιψηφίζουσιν, ἐάν τίς τι δόξῃ ἀδικ[εῖν.*

*κ]ληροῦσι δὲ καὶ* λογιστὰς *ἐξ αὐτῶν οἱ βουλευταὶ* 3 *δέκα, τοὺς λογιουμένους τ[αῖς ἀ]ρχαῖς κατὰ τὴν πρυτανείαν ἑκάστην. κληροῦσι δὲ καὶ* εὐθύνους *ἕνα τῆς* 4 *φυλῆς ἑκάστης, καὶ παρέδρους β′ ἑκάστῳ τῶν εὐθύνων, οἷς ἀναγκαῖόν ἐστι ταῖς α . . . αις κατὰ τὸν ἐπώνυμον τὸν τῆς φυλῆς ἑκάστης καθῆσθαι, καὶ ἄν τις βούλ[ηταί] τινι τῶν τὰς εὐθύνας ἐν τῷ δικαστηρίῳ δεδωκότων, ἐντὸς γ′ ἡ[μερῶν ἀφ᾽] ἧς ἔδωκε τὰς εὐθύνας, εὔθυναν ἄν τ᾽ ἰδίαν ἄν τε δημο[σί]α[ν] ἐμβαλέσθαι, γράψας εἰς πινάκιον λελευκωμένον τοὔνομα τό [θ᾽ αὐ]τ[ο]ῦ καὶ τὸ τοῦ φεύγοντος, καὶ τὸ ἀδίκημ᾽ ὅ τι ἂν ἐγκαλῇ, καὶ τίμημα ἐ[πιγραψ]άμενος ὅ τι ἂν αὐτῷ δοκῇ, δίδωσιν τῷ εὐθύνῳ· ὁ δὲ λαβὼν τοῦτο καὶ ἀν[ακρίνα]ς,* 5 *ἐὰν ⟦μὲν⟧ καταγνῷ, παραδίδωσιν τὰ μὲν ἴδια τοῖς δικασταῖς τοῖς κατὰ δήμ[ους, τοῖς] τὴν φυλὴν ταύτην εἰσάγουσιν, τὰ δὲ δημόσια τοῖς θεσμοθέτα[ις . . . .*

---

TESTIM. § 3 Poll. 8, 99. *Harp. *λογισταί.* § 4 *Harp. *εὐθῦναι.* Phot. *εὔθυνος.*

---

3 ΔΟΚΗΙ (app.) 8 *ἀ[γορ]αῖς* K., W.-K. (cf. Wil. II, 235); sed potius K vel X vel Λ ante ΑΙC agnoscebam (Wn. Λ vel C); post prius A ductus I (Ṇ Wn.) agnoscitur. V. app. *κατὰ] παρὰ* contra chart. W.-K.[1. 2], H.-L. (ut p. 83, 3). 9 *ἑκάστης* recte K. KAN. 11 $\overline{γ}$] $\overline{τ}$ Wn. 12 *ἄν τ᾽ ἰδ. ἄν τε δημοσ.* (Gertz) W.-K., H.-L., K.[3] 13 sq. *τὸ [αὐτοῦ]* (Richards, Bl., al.) H.-L., K.[3], sed superat spatium (*τό [θ᾽ α.* Bl.[2], W.-K.[3]). 15 *ἐπιγραψάμ.* (H.) H.-L. (est lacuna et in hoc et in cet. vers. maior quam videtur, et agnovi vestigia Є litt., it. Wn.; cf. Wil. II, 235). 16 sq. *ἀ[ναγνοὺ]ς* (Bl.) W.-K., H.-L., K.[3]; *ἀ[νακρίνα]ς* Lipsius. 17 *μὲν* secl. W.-K. (Herwerden), sed dubitat Kb. Cf. p. 67, 7. *καταγνῷ] κατα* punctis inclusum in chart., itaque v. l. fuit *γνῷ.* *τὰ μὲν ἴδια παραδ.* ci. S. 18 *δήμους οἳ τὴν* omnes ante Bl.[2] (de spatio v. ad v. 15). 19 *δικάζουσιν* pro *εἰσάγ.* (coll. p. 82, 12. c. 58, 2) Richards, Thompson, W.-K.

ἀ]ναγράφει. οἱ δὲ θεσμοθέται, ἐὰν παραλάβωσιν, πάλιν εἰσάγουσιν [ταύτην τὴν] εὔθυναν εἰς τὸ δικαστήριον, καὶ ὅ τι ἂν γνῶσιν οἱ δικαστα[ί, τοῦτο κύ]ριόν ἐστιν.

XLIX. δοκιμάζει δὲ καὶ τοὺς ἵππους ἡ βουλή, κἂν μέν τις καλ[ὸ]ν [δυνατὸ]ς ὢν κακῶς δοκῇ τρέφειν, ζημιοῖ τῷ σίτῳ, τοῖς δὲ μὴ δυναμ[ένοις ἀκολ]ουθεῖν, ἢ μὴ θέλουσιν μένειν ἀναγ⟨ώγοις⟩ οὖσι, τροχὸν ἐπὶ τὴν γνάθ[ον ἐπιβάλλει, καὶ ὁ τ]οῦτο παθὼν ἀδόκιμός ἐστι. δοκιμάζει δὲ καὶ τοὺς προ[δρόμους, ὅσοι ἂν] αὐτῇ δοκῶ||σιν ἐπιτήδειοι προδρομεύειν εἶναι, καὶ ἄν τιν' ἀπο- pag. 26 χειροτονήσῃ, καταβέβηκεν οὗτος. δοκιμάζει δὲ καὶ τοὺς ἁμίππους, καὶ ἄν τιν' ἀποχειροτονήσῃ, πέπαυται μισθο-
2 φορῶν οὗτος. τοὺς δ' ἱππέας καταλέγουσιν οἱ καταλογεῖς, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ δέκα ἄνδρας· οὓς δ' ἂν καταλέξωσι, παραδιδόασι τοῖς ἱππάρχοις καὶ φυλάρχοις, οὗτοι δὲ παραλαβόντες εἰσφέρουσι τὸν κατάλογον εἰς τὴν βουλήν, καὶ τὸν πίνακ' ἀνοίξαντες,

---

TESTIM. 6 Hesych. τρυσίππιον, cf. Hes. Phot. ἵππου τροχός, Ael. Dion. apud Eustath. ad δ 562, Zenob. 4, 41.

---

1 [ἀνα]γράφει recte K., H.-L. (Polit. 1321 b 34 conf. Kb.), nisi quod superat spatium; συναναγρ. agn. Wn. (W.-K.[3]), sed non confirmat K. Ad sententiam nihil desideratur. ἐὰν] ἐπὰν Condos, ἐπειδὰν Sakell. 2 τὴν suppl. K., sed spatio non satisfit, nisi ταύτ(ην) τ(ὴν) suppletur (sic et. W.-K.[3]). 3 suppl. W.-K., H.-L., K.[3] 5 καλ[ὸν ἵππον ἔχ]ων W.-K. (K.[3], qui etiam ONI agn.; ἔχ]ων et. Wn.); sed C est ante ωN, unde δυνατὸς ὢν scripsi (app.). 6 δυναμένοις [ἀκολ]ουθεῖν K.[3] (Xen. Mem. 3, 3, 4. Hipparch. 1, 13). 7 ANAΓOYCI, cum v. l. ad N adscr. (A)ΛΛ(AΓOYCI); ἀναγ⟨ώγοις⟩ οὖσι v. L. coll. Xen. Mem. 3, 3, 4 (quem locum indic. Wyse), H.-L., K.[3], plane recte puto, cf. app. 8 γνάθον (Hicks) W.-K., H.-L. (K.[3]) ex gramm.; tum [ἐπιβάλλουσι] H.-L., K.[3], qui paullo longius esse dicit quam pro lacuna; itaque ἐπιβάλλει scripsi, app. ([χαράττει] W.-K.[3]); καὶ ὁ τοῦτο K., H.-L., W.-K.[3] 9 suppl. K.[3] 10 et 12 KAN, tum TINAΠΠPOX-; corr. (Wyse, Bl., al.) W.-K., H.-L., K.[3] 12 ANIΠΠOYC, corr. (Wyse, Bl., al.) W.-K., H.-L., K.[3] Cf. Harp. ἅμιπποι, Bk. An. 205.

ἐν ᾧ κατασεσημασμένα τὰ ὀνόματα τῶν ἱππέων ἐστί, τοὺς μὲν ἐξομνυμένους τῶν πρότερον ἐγγεγραμμένων μὴ δυνατοὺς εἶναι τοῖς σώμασιν ἱππεύειν ἐξαλείφουσι, τοὺς δὲ κατειλεγμένους καλοῦσι, κἂν μέν τις ἐξομνύηται μὴ δύνασθαι τῷ σώματι ἱππεύειν ἢ τῇ οὐσίᾳ, τοῦτον ἀφιᾶσιν, τὸν δὲ μὴ ἐξομνύμενον διαχειροτονοῦσιν οἱ βουλευταί, πότερον ἐπιτήδειός ἐστιν ἱππεύειν ἢ οὔ· κἂν μὲν χειροτονήσωσιν, ἐγγράφουσιν εἰς τὸν πίνακα, εἰ δὲ μή, καὶ τοῦτον ἀφιᾶσιν.

ἔκρινεν δέ ποτε καὶ τὰ παραδείγματα τὰ εἰς τὸν 3
πέπλον ἡ βουλή, νῦν δὲ τὸ δικαστήριον τὸ λαχόν· ἐδόκουν γὰρ οὗτοι καταχαρίζεσθαι τὴν κρίσιν. καὶ τῆς ποιήσεως τῶν Νικῶν καὶ τῶν ἄθλων τῶν εἰς τὰ Παναθήναια συνεπιμελεῖται μετὰ τοῦ ταμίου τῶν στρατιωτικῶν.

δοκιμάζει δὲ καὶ τοὺς ἀδυνάτους ἡ βουλή· νόμος 4
γάρ ἐστιν ὃς κελεύει τοὺς ἐντὸς τριῶν μνῶν κεκτημένους, καὶ τὸ σῶμα πεπηρωμένους ὥστε μὴ δύνασθαι μηδὲν ἔργον ἐργάζεσθαι, δοκιμάζειν μὲν τὴν βουλήν, διδόναι δὲ δημοσίᾳ τροφὴν δύ' ὀβολοὺς ἑκάστῳ τῆς ἡμέρας. καὶ ταμίας ἐστὶν αὐτοῖς κληρωτός.

⟦συνδιοικεῖ δὲ καὶ ταῖς ἄλλαις ἀρχαῖς τὰ πλεῖσθ' ὡς ἔπος εἰπεῖν.⟧

L. τὰ μὲν οὖν ὑπὸ τῆς βουλῆς διοικούμενα ταῦτ' ἐστί. κληροῦνται δὲ καὶ ἱερῶν ἐπισκευασταὶ δέκα

---

TESTIM. § 4 *Harp. *ἀδύνατοι.* *Bekk. An. 345. Hesych. *ἀδύνατοι.* Bekk. An. 200.

---

3 τοῖς σώμ. ⟨ἢ ταῖς οὐσίαις⟩ Papag., cf. Kb. p. 219 sq. 4 sq. ἐξομνύηται W.-K.: ΜΗϹΗΤΑΙ pap., -μόσηται K., H.-L. 10 τὰ εἰς] Κ(ΑΙ). Cf. praef. § 13. 21 αὐτοῖς i. e. τοῖς ἀδυνάτοις. 22 sq. συνδ. — εἰπεῖν del. H.-L., ut ex pag. 73, 13 repetita. Cf. Kb. pag. 25 sq.; app. 25 ΕϹΤΙΝ.

ἄνδρες, οἳ λαμβάνοντες τριάκοντα μνᾶς παρὰ τῶν ἀποδεκτῶν, ἐπισκευάζουσιν τὰ μάλιστα δεόμενα τῶν ἱερῶν·
2 καὶ ἀστυνόμοι δέκα· τούτων δὲ ε΄ μὲν ἄρχουσι ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει, καὶ τάς τε αὐλητρίδας καὶ τὰς ψαλτρίας καὶ τὰς κιθαριστρίας οὗτοι σκοποῦσιν, ὅπως μὴ πλείονος ἢ δυεῖν δραχμαῖν μισθωθήσονται, κἂν πλείους τὴν αὐτὴν σπουδάζωσι λαβεῖν, οὗτοι διακληροῦσιν καὶ τῷ λαχόντι μισθοῦσιν. καὶ ὅπως τῶν κοπρολόγων μηδεὶς ἐντὸς ι΄ σταδίων τοῦ τείχους καταβαλεῖ κόπρον ἐπιμελοῦνται· καὶ τὰς ὁδοὺς κωλύουσι κατοικοδομεῖν, καὶ δρυφάκτους ὑπὲρ τῶν ὁδῶν ὑπερτείνειν, καὶ ὀχετοὺς μετεώρους εἰς τὴν ὁδὸν ἔκρουν ἔχοντας ποιεῖν, καὶ τὰς θυρίδας εἰς τὴν ὁδὸν ἀνοίγειν· καὶ τοὺς ἐν ταῖς ὁδοῖς ἀπογιγνομένους ἀναιροῦσιν, ἔχοντες δημοσίους ὑπηρέτας.

LI. κληροῦνται δὲ καὶ ἀγορανόμοι, πέντε μὲν εἰς Πειραιέα, ε΄ δ' εἰς ἄστυ. τούτοις δὲ ὑπὸ τῶν νόμων προστέτακται τῶν ὠνίων ἐπιμελεῖσθαι πάντων, ὅπως καθαρὰ καὶ ἀκίβδηλα πωλήσεται.

2 κληροῦνται δὲ καὶ μετρονόμοι, πέντε μὲν εἰς ἄστυ, ε΄ δὲ εἰς Πειραιέα· καὶ οὗτοι τῶν μέτρων καὶ τῶν σταθμῶν ἐπιμελοῦνται πάντων, ὅπως οἱ πωλοῦντες χρήσονται δικαίοις.

---

TESTIM. 50 § 2 *Harp. ἀστυνόμοι. 51 § 1 *Harp. ἀγορανόμοι. Bekk. An. 330. § 2 *Harp. μετρονόμοι. Phot. μέτρον. Bekk. An. 278.

---

3 CIN. 4 -PAEI. 6 δυοῖν H.-L. ΔΡΑΧΜΑΙC, corr. W.-K., H.-L. 7 CΠΟΥΔΑCΩCI (-ζωσι Bl.², W.-K.³), app. 8 -CI. 9 ἐντὸς ι΄ σταδίων cum chart. (John Mayor, Gennadios) W.-K., H.-L., K.³ 10 ΜΕΛΟΝΤΑΙ, corr. W.-K., H.-L., K.³ 13 ἔχοντας recte (Bywater, al.) W.-K., H.-L., K.³ 16 ἀγορανόμοι ⟨ι΄⟩ Papageorg.; it. v. 20 μετρ. ⟨ι΄⟩; cf. p. 80, 1. 19 πωλήσεται Kb.: πωλῆται. Cf. v. 6; v. 23; p. 80, 5 sq. 24 ΧΡΗCΩΝΤΑΙ, corr. (Ruth., Bl., al.) W.-K., H.-L.

ἦσαν δὲ καὶ σιτοφύλακες ⟨ι'⟩ κληρωτοί, πέντε 3
μὲν εἰς Πειραιέα, πέντε δ' εἰς ἄστυ, νῦν δ' εἴκοσι μὲν εἰς ἄστυ, πεντεκαίδεκα δ' εἰς Πειραιέα. οὗτοι δ' ἐπιμελοῦνται, πρῶτον μὲν ὅπως ὁ ἐν ἀγορᾷ σῖτος ἀργὸς ὤνιος ἔσται δικαίως, ἔπειθ' ὅπως οἵ τε μυλωθροὶ πρὸς τὰς τιμὰς τῶν κριθῶν τὰ ἄλφιτα πωλήσουσιν, καὶ οἱ ἀρτοπῶλαι πρὸς τὰς τιμὰς τῶν πυρῶν τοὺς ἄρτους, καὶ τὸν σταθμὸν ἄγοντας ὅσον ἂν οὗτοι τάξωσιν· ὁ γὰρ νόμος τούτους κελεύει τάττειν.

ἐμπορίου δ' ἐπιμελητὰς δέκα κληροῦσιν· τού- 4
τοις δὲ προστέτακται τῶν τ' ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ σιτικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.

LII. καθιστᾶσι δὲ καὶ τοὺς ἕνδεκα κληρωτούς, ἐπιμελησομένους τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ τοὺς ἀπαγομένους κλέπτας καὶ τοὺς ἀνδραποδιστὰς καὶ τοὺς λωποδύτας, ἂν μὲν [ὁμ]ολογῶσι, θανάτῳ ζημιώσοντας, ἂν δ' ἀμφισβητῶσιν, εἰσάξοντας εἰς τὸ δικαστήριον, κἂν μὲν ἀποφύγωσιν ἀφήσοντας, εἰ δὲ μή τότε θανατώσοντας, καὶ τὰ ἀπογραφόμενα χωρία καὶ οἰκίας εἰσά-

---

TESTIM. § 3 *Harp. σιτοφύλακες. Phot. σιτοφ. Bekk. An. 300. § 4 v. 10—14 *Harp. ἐπιμελητὴς ἐμπορίου. Bekk. An. 255. 52 § 1 Poll. 8, 102. Bekk. An. 310. Phot. ἡγεμ. δικαστ. Et. M. ἕνδεκα (Bekk. An. 250. schol. Ar. Vesp. 1108 [S.]. schol. Patm. Dem. p. 13 sq. Sakk. schol. Lucian. IV 170 Jac.).

---

1 ι' post κληρ. add. (ex Harp.) W.-K. (app.). 2 ΠΕΡΑΙΕΑ. εἴκοσι recte K. (et. W.-K.[3]). 12 ἀστικὸν ex Bk. An. 255 coll. 208. 284. 456 antea S., qui nunc Ἀττικὸν cum Harp. Cf. Wil. I, 220 sq. 15 κληρωτούς, ⟨τοὺς⟩ H.-L. (Rutherf.), cf. Heracl. epit. 11; κλήρῳ, τοὺς Kb., W.-K.[3] Sed articuli non est ratio (sicut est c. 54, 6). 17 ἀπαγομ. ⟨κακούργους, τούς τε⟩ ex grammat. W.-K.; cf. Bursy p. 64. τοὺς ante ἀνδρ. et λωποδ. del. H.-L. 18 ΖΗΜΙΩΘΗϹΟΝΤΑϹΕΝΔΑΜΦΙΒ, corr. K.

*ξοντας εἰς τὸ δικαστήριον, καὶ τὰ δόξαντα δ[ημ]όσια εἶναι παραδώσοντας τοῖς πωληταῖς, καὶ τὰς ἐνδείξεις εἰσάξοντας· καὶ γὰρ ταύτας εἰσάγουσιν οἱ ἕνδεκα. εἰσάγουσι δὲ τῶν ἐνδείξεών τινας καὶ οἱ θεσμοθέται.*

2 *κληροῦσι δὲ καὶ εἰσαγωγέας ε´ ἄνδρας, οἳ τὰς ἐμμήνους εἰσάγουσιν δίκας, δυοῖν φυλαῖν ἕκαστος. εἰσὶ δ' ἔμμηνοι προικός, ἄν τις ὀφείλων μὴ ἀποδιδῷ, καὶ ἂν τις ἐπὶ δραχμῇ δανεισάμενος ἀποστερῇ, καὶ ἄν τις ἐν ἀγορᾷ βουλόμενος ἐργάζεσθαι δανείσηται παρά τινος ἀφορμήν· ἔτι δ' αἰκείας καὶ ἐρανικὰς καὶ κοινωνικὰς καὶ ἀνδραπόδων καὶ ὑποζυγίων καὶ τριηραρχίας καὶ*
3 *τραπεζιτικάς. οὗτοι μὲν οὖν ταύτας δικάζουσιν ἐμμήνους εἰσάγ[ον]τες, οἱ δ' ἀποδέκται τοῖς τελώναις καὶ κατὰ τῶν τελωνῶν, τὰ μὲν μέχρι δέκα δραχμῶν ὄντες κύρι[οι], τὰ δ' ἄλλ' εἰς τὸ δικαστήριον εἰσάγοντες ἔμμηνα.*

LIII. *κληροῦσι δὲ καὶ τετταράκοντα, τέτταρας ἐκ τῆς φυλῆς ἑκάστης, πρὸς οὓς τὰς ἄλλας δίκας λαγχάνουσι· οἳ πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιιόντες ἐδίκαζον, μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν τετταράκοντα γεγόνασιν. καὶ τὰ μὲν* ||

---

TESTIM. 2 schol. Patm. Demosth. p. 16 Sakk. § 2 Poll. 8, 101. Hesych. *εἰσαγωγή* (leg. *-γεῖς* cum [Scalig.] W.-K.). § 3 Poll. 8, 97. 53 § 1 Poll. 8, 100. Bekk. An. 310. Phot. *τετταράκοντα*. Bekk. An. 306. *Harp. *κατὰ δήμους δικαστάς*.

---

6 -ΟΥϹΙ. ΦΥΛΑΝ (num -ΑΙΝ corr.?). 7 ЄΑΝ. ΑΠΟΔΩΙ, corr. (Bl., Condos) W.-K., H.-L. 7 et 8 ΚΑΝ. 8 *ὑπὲρ δραχμὴν* H.-L. 8 sq. ЄΑΝΑΓΟΡΑΙ. 10. 12 *ἐρανικαὶ — κοινωνικαὶ — τραπεζιτικαί* (hiat.) em. W.-K.[1. 2], H.-L., K.[3], S. (Bury); alia atque plura molitur Kb. p. 224 sq. Addit Poll. *ἐμπορικαί*, sed cf. c. 59, 5.
11 *τριηραρχικαὶ* (Bury) W.-K.[1. 2], *-ικὰς* W.-K.[3] 17 *καὶ* <*τοὺς*> W.-K. (app.). 18 *τῆς φυλῆς ἑκ.* (W.-K., K.-L., K.[3]) pr., sed obscuratum est *φυλῆς* et in mg. iterum adscr. 19 -ΟΥϹΙΝ. 20 ΠЄΡΙΟΝΤЄϹ (*-ιι-* K., H.-L.). *ἐπὶ* ad *τῶν* supra v. a corr. (non hab. Poll.).

pag. 27 μέχρι δέκα δραχμῶν αὐτοτελεῖς εἰσι δ[ικά]ζε[ι]ν, τὰ δ'
ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς διαιτηταῖς παραδιδόασιν.
οἱ δὲ παραλαβόντες, ἐὰν μὴ δύνωνται διαλῦσαι, γιγνώ- 2
σκουσι, καὶ ἂν μὲν ἀμφοτέροις ἀρέσκῃ τὰ γνωσθέντα καὶ
ἐμμένωσιν, ἔχει τέλος ἡ δίκη. ἂν δ' ὁ ἕτερος ἐφιῇ
τῶν ἀντιδίκων εἰς τὸ δικαστήριον, ἐμβαλόντες τὰς μαρ-
τυρίας καὶ τὰς προκλήσεις καὶ τοὺς νόμους εἰς ἐχί-
νους, χωρὶς μὲν τὰς τοῦ διώκοντος, χωρὶς δὲ τὰς τοῦ
φεύγοντος, καὶ τούτους κατασημηνάμενοι, καὶ τὴν γνῶ-
σιν τοῦ διαιτητοῦ γεγραμμένην ἐν γραμματείῳ προσαρ-
τήσαντες, παραδιδόασι το[ῖ]ς δ' τοῖς τὴν φυλὴν τοῦ φεύ-
γοντος δικάζουσιν. οἱ δὲ παραλαβόντες εἰσάγουσιν εἰς 3
τὸ δικαστήριον, τὰ μὲν ἐντὸς χιλιῶν εἰς ἕνα καὶ δια-
κοσίους, τὰ δ' ὑπὲρ χιλίας εἰς ἕνα καὶ τετρακοσίους. οὐκ
ἔξεστι δ' οὔτε νόμοις οὔτε προκλήσεσι οὔτε μαρτυρίαις
ἄλλ' ἢ ταῖς παρὰ τοῦ διαιτητοῦ χρῆσθαι, ταῖς εἰς τοὺς
ἐχίνους ἐμβεβλημέναις. διαιτηταὶ δ' εἰσὶ οἷς ἂν ἑξηκο- 4
στὸν ἔτος ᾖ. τοῦτο δὲ δῆλον ἐκ τῶν ἀρχόντων καὶ τῶν
ἐπωνύμων. εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν,
δύο δὲ καὶ τετταράκοντα οἱ τῶν ἡλικιῶν· οἱ δὲ ἔφηβοι
ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμμα-
τεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τ' ἄρχων
ἐφ' οὗ ἐνεγράφησαν, καὶ ἐπώνυμος ὁ τῷ προτέρῳ

---

TESTIM. § 2 *Harp. διαιτηταί. §§ 2. 4. 5 Poll. 8, 126 sq. Bekk. An. 235. Hesych. διαιτ. schol. Plat. Leg. XI, 920 D. schol. Patm. Dem. 13 Sakk. 7 sq. *Harp. ἐχῖνος. § 4 v. 19—83, 2 ἀναγρ., tum § 7 v. 13—16 *Harp. στρατεία ἐν τοῖς ἐπωνύμοις. Harp. ἐπώνυμοι. Etym. M. 369, 15. Rh. Gr. VII, 1284, 11 (Photiades).

---

1 δικάζειν (cf. Phot.) agn. Wn. (W.-K.[3]); legebatur κ[ρίνει]ν (app.). 3 sq. ΓΙΓΝΩΙCΚΟΥCΙ. 4 ΚΑΝ. 5 ЄΦΗΙ (app.). 9 sq. γνῶσιν (Bl.[2]) agn. et. Wn. 11 τοῖς δ' recte K.[3] τὴν φυλὴν (Wyse, al., coll. c. 58, 2) W.-K., H.-L., K.[3]: Τ(ΗC)ΦΥΛ(ΗC). 20 ἔφ. ⟨οἱ⟩ H.-L., sed ut charta Harp. 23 ὁ ante ἐπών. omisi c. Harp. πρότερον W.-K., Poland (hiat.).

ἔ[τ]ει δεδιαιτηκώς, νῦν δ᾽ εἰς στήλην χαλκῆν ἀναγρά-
φονται, καὶ ἵσταται ἡ στήλη πρὸ τοῦ βουλευτηρίου
5 παρὰ τοὺς ἐπωνύμους. τὸν δὲ τελευταῖον τῶν ἐπω-
νύμων λαβόντες οἱ τετταράκοντα, διανέμουσιν αὐτοῖς
τὰς διαίτας καὶ ἐπικληροῦσιν ἃς ἕκαστος διαιτήσει· καὶ
ἀναγκαῖον ἃς ἂν ἕκαστος λάχῃ διαίτας ἐκδιαιτᾶν. ὁ
γὰρ νόμος, ἄν τις μὴ γένηται διαιτητὴς τῆς ἡλικίας
αὐτῷ καθηκούσης, ἄτιμον εἶναι κελεύει, πλὴν ἂν τύχῃ
ἀρχὴν ἄρχων τι[ν]ὰ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ ἢ ἀποδη-
6 μῶν, οὗτοι δὲ ἀτελεῖς εἰσὶ μόνοι. ἔστιν δὲ καὶ εἰσαγ-
γέλλειν εἰς τοὺς διαιτητάς, ἐάν τις ἀδικηθῇ ὑπὸ τοῦ
διαιτητοῦ, κἄν τινος καταγνῶσιν, ἀτιμοῦσθαι κελεύου-
7 σιν οἱ νόμοι· ἔφεσις δ᾽ ἐστὶ καὶ τούτοις. χρῶνται δὲ
τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλι-
κίαν ἐκπέμπωσι προγράφουσιν, ἀπὸ τίνος ἄρχοντος καὶ
ἐπωνύμ[ου] μέχρι τίνων δεῖ στρατεύεσθαι.

LIV. κληροῦσι δὲ καὶ τάσδε τὰς ἀρχάς· ὁδοποιοὺς
πέντε, οἷς προστέτακται δημοσίους ἐργάτας ἔχουσιν τὰς
2 ὁδοὺς ἐπισκευάζειν· καὶ λογιστὰς δέκα καὶ συνηγό-
ρους ⟦τούτοις⟧ δέκα, πρὸς οὓς ἅπαντας ἀνάγκη τοὺς τὰς
ἀρχὰς ἄρξ[αντ]ας λόγον ἀπενεγκεῖν. οὗτοι γὰρ ⟨πάρ⟩ει-
σι μόνοι τοῖς ὑπευθύνοις, λογιζόμενοι καὶ τὰς εὐθύ-

---

TESTIM. 5 sqq. Rh. Gr. l. c. 12. 10 sq. Harp. εἰσαγγελία. Bk. An. 235. schol. Plat. Leg. XI. schol. Patm. Dem. p. 13.
54 § 2 *schol Aristoph. Vesp. 691. Bekk. An. 310, 6. Phot. Suid. ἡγεμ. δικ. Bekk. An. 276. 301 (Photiades). Phot. Suid. εὔθυνα (Bekk. An. 245. schol. Patm. Dem. p. 142). add. *lex. Cantabr. λογισταί, ubi legendum κληροῦνται, ceterum minime ipsa verba afferuntur.

---

3 Π(ΕΡΙ) (sed Π(ΑΡΑ) „compendio male picto“ Wn.) ΤΟΥϹ, corr. (ci. K.) W.-K., H.-L. 8 ЄΑΝ. 9 τινὰ ἐν W.-K. recte (K.[3]).
11 διαιτητάς] δικαστάς contra chart. K.[1], H.-L. (cum Harpocr.).
15 ἀπὸ] Α cum compendio insolito. 18 -ΟΥϹΙ. 20 ⟦τούτοις⟧ app. 21 ⟨πάρ⟩εισι app. (22 μόνοι ⟨οἱ⟩ Jos. Mayor, H.-L., K.[3], S., ⟨οἱ⟩ μόνοι W.-K.[3]).

*νας εἰς τὸ δικαστήριον εἰσάγοντες. καὶ ἂν μέν τινα κλέπτοντ' ἐξελέγξωσι, κλοπὴν οἱ δικασταὶ καταγιγνώσκουσι, καὶ τὸ γνωσθὲν ἀποτίνεται δεκαπλοῦν· ἐὰν δέ τινα δῶρα λαβόντα ἐπιδείξωσιν καὶ καταγνῶσιν οἱ δικασταί, δώρων τιμῶσιν, ἀποτίνεται δὲ καὶ τοῦτο δεκαπλοῦν· ἂν δ' ἀδικεῖν καταγνῶσιν, ἀδικίου τιμῶσιν, ἀποτίνεται δὲ τοῦθ' ἁπλοῦν, ἐὰν πρὸ τῆς θ' πρυτανείας ἐκτείσῃ τις, εἰ δὲ μή, διπλοῦται. τὸ ⟨δὲ⟩ δεκαπλοῦν οὐ διπλοῦται.*

*κληροῦσιν δὲ καὶ γ ρ α μ μ α τ έ α τὸν κατὰ πρυτανείαν* 3
*καλούμενον, ὃς τῶν γραμμάτων ⟨τ'⟩ ἐστὶ κύριος, καὶ τὰ ψηφίσματα τὰ γιγνόμενα φυλάττει, καὶ τἆλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ. πρότερον μὲν οὖν οὗτος ἦν χειροτονητός, καὶ τοὺς ἐνδοξοτάτους καὶ πιστοτάτους ἐχειροτόνουν· καὶ γὰρ ἐν ταῖς στήλαις πρὸς ταῖς συμμαχίαις καὶ προξενίαις καὶ πολιτείαις οὗτος ἀναγράφεται· νῦν δὲ γέγονε κληρωτός. κλη-* 4
*ροῦσι δὲ καὶ ἐπὶ τοὺς νόμους ἕτερον, ὃς παρακάθηται τῇ βουλῇ, καὶ ἀντιγράφεται καὶ οὗτος πάντας. χειρο-* 5
*τονεῖ δὲ καὶ ὁ δῆμος γραμματέα, τὸν ἀναγνωσόμενον αὐτῷ καὶ τῇ βουλῇ, καὶ οὗτος οὐδενός ἐστι κύριος ἀλλ' ἢ τοῦ ἀναγνῶναι.*

*κληροῖ δὲ καὶ ἱ ε ρ ο π ο ι ο ὺ ς δέκα, τοὺς ἐπὶ τὰ ἐκθύ-* 6

---

TESTIM. 6 Harp. *ἀδικίου*. § 3. 4. 5 Poll. 8, 98. § 3. 4 *Harp. *γραμματεύς*. § 4 *Harp. *ἀντιγραφεύς*. § 5 Suid. *γραμματεύς*. Bekk. An. 226.

---

1 ΚΑΝ. 2 ΓΙΝΩΙϹΚΟΥϹΙ pr. (del. Ι post Ω), cf. p. 82, 3. 3 ⟨*κατα*⟩*γνωσθ*. W.-K., sed def. *γν*. S. coll. Dem. 24, 9 *κατεγνωκυίας — γνωσθέντα*. 8 ЄΚΤΙϹΗΙ. 9 ⟨*δὲ*⟩ K. 10 -ϹΙ. 11 ΓΡΑΜΜΑΤЄΩΝ, corr. Bywater, Bl., al. (cum Harp. Poll.). ⟨*τ'*⟩ add. Harp. (praeter BC), cf. Kb. p. 227 (W.-K.³). 12 *γενόμ*. Harp. 14 sq. Κ(ΑΙ)ΑΠΙϹΤ. 18 ЄΠΙΤΟΥΤΟΙϹΝΟΜΟΝЄΤЄΡΟΝ, corr. K. e Poll. 22 ΑΛΛΑΤΟΥ, corr. (Richards, Bl., al.) W.-K., K.-L. (cum Suid.), v. tamen app.

*ματα καλουμένους, [οἳ] τά τε μαντευτὰ ἱερὰ θύουσιν, κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι μετὰ τῶν μάν-*
7 *τεων. κληροῦ δὲ καὶ ἑτέρους δέκα, τοὺς κατ' ἐνιαυτὸν καλουμένους, οἳ θυσίας τέ τινας θύουσι, [καὶ τ]ὰς πεντετηρίδας ἁπάσας διοικοῦσι πλὴν Παναθηναίων. ε[ἰσὶ] δὲ πεντετηρίδες μία μ[ὲν εἰ]ς Δῆλον (ἔστι δὲ καὶ ἑπτετηρὶς ἐνταῦθα), δευτέρα δὲ Βραυρώνια, τρίτη [δὲ Ἡράκλει]α, τετάρτη δ' Ἐλευσ[ίν]ια· ε' δὲ Πα[ν]αθήναια, καὶ τούτων οὐδεμιᾷ ἐν τῷ αὐτῷ ἐν[ιαυτῷ] γίγνετ[αι. ἕκτη] δὲ πρόσκειται [καὶ Ἡ]φαίσ[τι]α, ἐπὶ Κηφισοφῶντος ἄρχοντος.*

8 *κληροῦσι δὲ καὶ εἰς Σαλαμῖνα ἄρχοντα, καὶ εἰς Πει[ραι]έα δήμαρ[χ]ον, οἳ τά τε Διονύσια ποιοῦσι ἑκατέρωθι καὶ χορηγοὺς καθιστᾶσι· ἐν Σαλαμ[ῖνι] δὲ καὶ τοὔ[ν]ομα τοῦ ἄρχοντος ἀναγράφεται.*

LV. *αὗται μὲν οὖν αἱ ἀρχαὶ κληρωταί τε καὶ κύριαι τῶν εἰ[ρη]μένων [πράξε]ων εἰσίν. οἱ καλού-*

---

TESTIM. § 6. 7 *Et. M. *ἱεροποιοί*. Phot. *ἱεροπ*. Bekk. An. 265. schol. Patm. Dem. 11. Poll. 8, 107. LV Poll. 8, 85. 86.

---

6. *ε' δ' εἰσὶ* (L.) H.-L.; *ε[ἰσὶ δὲ]* K.[3], negans numeri notam super Є exstare, it. Wn. (*ε. δὲ ε̄* Papageorg., qui recte del. *ἡ* ante *εἰς* 6 a K. additum). Proxima et 8 *δὲ Ἡρ.* (cf. Poll. 8, 107 *τὴν Ἡρακλειδῶν* sec. codd.) suppl. K., et convenire vid. vestigia, etsi negat Wn. (ΤΡΙΤΗ . . . . . ΤΑ Wn.). 8 ab *Ἐλ.* suppl. (L., Wyse) H.-K., K.[3] Sunt vestigia vocis *Ἐλ.*; post eam dispiciuntur vestigia litterae Є, et super eam ductus transversus qui numerum indicat. 9 sq. post *αὐτῶι* est *εν* (nihil aliud fuisse dicit Wn.) supra v.; suppl. *ἐν[ιαυτῷ* (Bl.) W.-K.[1, 2], H.-L.; sed sensus existit perversissimus, nisi cum W.-K.[2] *οὐδεμιᾷ* pro *οὐδεμία* scribitur, cf. Wil. I, 229 (*ἐγγί(γ)νεται* K., W.-K.[3]). 10 *-γί[γνεται* K., *-γίνε[ται* W.-K.[3]; postea K. *γίνετ[αι*. Reliqua supplevi, v. app.: ante *δὲ* antea *νῦν* scripsi; *προσ* primo ut vid. per compendium, sed superscript. POC (*προκ.* K., al., sed *προσκ.* et. Wn., W.-K.[3]). Cf. v. Prott Mitth. d. arch. Inst. Ath. 1898, p. 167 f. Malim autem *ἀπὸ* pro *ἐπὶ*. 14 *ποιοῦσι* charta, sed -CTACIN.

15 legebatur non recte *τὸ [ὄν]ομα* (*τοὔ[ν]*. et Wn., W.-K.[3]).

17 *[πραγμάτ]ων* (K., al.) nimium pro spatio; *[ἁπάντ]ων* Papageorg.; *[πράξε]ων* Kb., W.-K.[3] (app.). transposui *δὲ* ante *καλ.* traditum (hiat.; ibd.).

μενοι δὲ ἐννέα ἄρχοντες, τὸ μὲν ἐξ ἀρχῆς ὃν τρόπον
καθίσταντο [προε]ίρητα[ι· νῦν] δὲ κληροῦσιν θεσμοθέτας
μὲν ἓξ καὶ γραμματέα τούτοις, ἔτι δ' ἄρχοντα καὶ
βασιλέα καὶ πολέμαρχον, κατὰ μέρος ἐξ ἑκάστης ⟨τῆς⟩
φυλῆς. δοκιμάζονται δ' οὗτοι πρῶτον μὲν ἐν τῇ β[ου- 2
λ]ῇ τοῖς φ', πλὴν τοῦ γραμματέως, οὗτος δ' ἐν δικα-
στηρίῳ μόνον, ὥσπερ οἱ ἄλλοι ἄρχοντες (ἅπαντες γὰρ
καὶ οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ δοκιμασθέντες
ἄρχουσιν), οἱ δ' ἐννέ' ἄρχοντες ἔν τε τῇ βουλῇ καὶ
πάλιν ἐν δικαστηρίῳ. καὶ πρότερον μὲν οὐκ ἦρχεν
ὅντι[ν'] ἀποδοκιμάσειεν ἡ βουλή, νῦν δ' ἔφεσίς ἐστιν
εἰς τὸ δικαστήριον, καὶ τοῦτο κύριόν ἐστι τῆς δοκι-
μασίας. ἐπερωτῶσιν δ', ὅταν δοκιμάζωσιν, πρῶτον μὲν 3
pag. 28 ‘τίς ‖ σοι πατὴρ καὶ πόθεν τῶν δήμων, καὶ τίς πατρὸς
πατήρ, καὶ τίς μήτηρ, καὶ τίς μητρὸς πατὴρ καὶ πόθεν
τῶν δήμων’; μετὰ δὲ ταῦτα εἰ ἔστιν αὐτῷ Ἀπόλλων
πατρῷος καὶ Ζεὺς ἑρκεῖος, καὶ ποῦ ταῦτα τὰ ἱερά
ἐστιν, εἶτα ἠρία εἰ ἔστιν καὶ ποῦ ταῦτα, ἔπειτα γο-
νέας εἰ εὖ ποιεῖ, [καὶ] τὰ τέλη τελεῖ, καὶ τὰς στρα-
τείας εἰ ἐστράτευται. ταῦτα δ' ἀνερωτήσας, ‘κάλει’
φησὶ ‘τούτων τοὺς μάρτυρας’. ἐπειδὰν δὲ παράσχη- 4
ται τοὺς μάρτυρας, ἐπερωτᾷ ‘τούτου βούλεταί τις κα-
τηγορεῖν’; [κ]ἂν μὲν ᾖ τις κατήγορος, δοὺς κατηγορίαν
καὶ ἀπολογίαν, οὕτω δίδωσιν ἐν μὲν τῇ βουλῇ τὴν

---

TESTIM. 2 *lex. Cantabr. θεσμοθ. ἀνάκρισις. § 2. 3 *lex. Cant. l. c.

---

2 legebatur non recte [εἴρη]ται; tum [ἤδη· νῦν] K., rell.; sed non exigitur spatio ἤδη, cum in eodem versus proximi non plus quam tres litt. exstent. Ut ego Wn., W.-K.[3] (app.). 4 addidi τῆς. 6 post φ' add. Papageorg. εἶτα δ' ἐν τῷ δικαστ. (del. id. γὰρ v. 7). 6 et 10 ἐν ⟨τῷ⟩ δικαστ. H.-L. Cf. p. 72, 4 (89, 5); Kb. p. 208 (app.). 7 ἅπαντε[ς (Diels, et. Wn., W.-K.[3]) verius vid. quam πάντες (K., al.). 14 sq. ΠΑΤΗΡΠΑΤΡΟϹ pr. 19 ⟨εἰ⟩ τελεῖ W.-K. 21 -CIN. 22 ΒΟΥΛΕΥΤΑΙ.

*ἐπιχειροτονίαν, ἐν δὲ τῷ δικαστηρίῳ τὴν ψῆφον· ἐὰν δὲ μηδεὶς βούληται κατηγορεῖν, εὐθὺς δίδωσι τὴν ψῆφον· καὶ πρότερον μὲν εἷς ἐνέβαλλε τὴν ψῆφον, νῦν δ' ἀνάγκη πάντας ἐστὶ διαψηφίζεσθαι περὶ αὐτῶν, ἵνα ἄν τις πονηρὸς ὢν ἀπαλλάξῃ τοὺς κατηγόρους, ἐπὶ*
5 *τοῖς δικασταῖς γένηται τοῦτον ἀποδοκιμάσαι. δοκιμασθέν⟨τες⟩ δὲ τοῦτον τὸν τρόπον, βαδίζουσι πρὸς τὸν λίθον ἐφ' ᾧ τὰ τόμι' ἐστίν, ἐφ' οὗ καὶ οἱ διαιτηταὶ ὀμόσαντες ἀποφαίνονται τὰς διαίτας, καὶ οἱ μάρτυρες ἐξόμνυνται τὰς μαρτυρίας, ἀναβάντες δ' ἐπὶ τοῦτον ὀμνύουσι, δικαίως ἄρξειν καὶ κατὰ τοὺς νόμους, καὶ δῶρα μὴ λήψεσθαι τῆς ἀρχῆς ἕνεκα, κἄν τι λάβωσιν ἀνδριάντα ἀναθήσειν χρυσοῦν. ἐντεῦθεν δ' ὀμόσαντες εἰς ἀκρόπολιν βαδίζουσι καὶ πάλιν ἐκεῖ τὰ αὐτὰ ὀμνύουσι, καὶ μετὰ ταῦτ' εἰς τὴν ἀρχὴν εἰσέρχονται.*

LVI. *λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ βασιλεὺς καὶ ὁ πολέμαρχος δύο ἕκαστος, οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύσωσιν.*

2 *καὶ ὁ μὲν ἄρχων εὐθὺς εἰσελθὼν πρῶτον μὲν κηρύττει, ὅσα τις εἶχεν πρὶν αὐτὸν εἰσελθεῖν εἰς τὴν ἀρχήν, ταῦτ' ἔχειν καὶ κρατεῖν μέχρι ἀρχῆς τέλους.*
3 *ἔπειτα χορηγοὺς τραγῳδοῖς καθίστησι τρεῖς, ἐξ ἁπάντων Ἀθηναίων τοὺς πλουσιωτάτους· πρότερον δὲ καὶ*

---

TESTIM. § 5 *Harpocr. v. *λίθος*. LVI § 1 Poll. 8, 92. *Harp. *πάρεδρος* (v. 16—20). § 3 lex. Cant. *ἐπώνυμος*.

---

4 *διαψ.* (Wyse, v. L., Bl., Lipsius) W.-K., H.-L., K.[3] 6 sq. *δοκιμασθέν⟨τες⟩* (Bl., H., al.) W.-K., H.-L. 8 *ὑφ' ᾧ* (*ὑφ' ᾧ* vel *ἐφ' ᾧ* libri Poll.) K.[1], Wil. (I, 48); ЄΦ legi posse recte autumant W.-K.[2] (Poland, et. Wn. ЄΦ), ЄΦO. *ἐφ' ο[ὗ]* (L.) K.[3] Cf. Kb. 11 -CIN. 13 -CI. 14 -CIN et TAYTA. 17 OYCЄAN. 19 *ἐπειδὰν* H.-L.

*κωμῳδοῖς καθίστη πέντε, νῦν δὲ τούτους αἱ φυλαὶ
φέρουσιν. ἔπειτα παραλαβὼν τοὺς χορηγούς, τοὺς ἐνη-
νεγμένους ὑπὸ τῶν φυλῶν εἰς Διονύσια ἀνδράσι καὶ
παισὶ καὶ κωμῳδοῖς, καὶ εἰς Θαργήλια ἀνδράσιν καὶ
παισίν (εἰσὶν δ᾽ οἱ μὲν εἰς Διονύσια κατὰ φυλάς, εἰς
Θαργήλια [δὲ] δυεῖν φυλαῖν εἷς· παρέχει δ᾽ ἐν μ[έρ]ει
ἑκατέρα τῶν φυλῶν) τούτοις τὰς ἀντιδόσεις ποιεῖ καὶ
τὰς σκήψεις εἰσ[άγει, ἐά]ν τις ᾗ λελητουργη[κέ]ν[αι]
φῇ πρότερον ταύτην τὴν λῃτουργ[ίαν, ἢ ἀ]τελὴς εἶναι
λελητουρ[γηκὼς ἑ]τέραν λῃτουργίαν καὶ τῶν χρόνων
αὐτῷ [τῆς ἀτε]λείας μὴ ἐξεληλ[λυ]θό[των, ἢ τὰ] ἔτη
μὴ γεγονέναι· δεῖ γὰρ τὸν τοῖς παι[σὶν χορη]γοῦντα
ὑπὲρ τετταράκοντα ἔτη γεγονέναι. καθίστησι δὲ καὶ
εἰς Δῆλον χορηγούς, καὶ ἀρχιθέω[ρον τ]ῷ τριακοντο-
ρίῳ τῷ τοὺς ἠθέους ἄγοντι. πομπῶν δ᾽ ἐπιμελεῖτ[αι* 4
*τῆς τ]ε τῷ Ἀσκληπιῷ γιγνομένης, ὅταν οἰκουρῶσι μύ-
σται, καὶ τῆς Διονυσίων τῶν με[γά]λων μετὰ τῶν ἐπι-
μελητῶν, οὓς πρότερον μὲν ὁ δῆμος ἐχειροτόνει δέκα
ὄντας, κ[αὶ τὰ] εἰς τὴν πομπὴν ἀναλώματα παρ᾽ αὑτῶ[ν]
ἀνήλι[σ]κον, νῦν δ᾽ ἕνα τῆς φυλῆ[ς ἑκ]άστης κληροῖ,
καὶ δίδωσιν εἰς τὴν κατασκευὴν ἑκατὸν μνᾶς. ἐπι-* 5

---

TESTIM. 12 *Harp. *ὅτι νόμος ἐστίν.*

---

1 ΤΟΥΤΟΙϹ, corr. (Wyse) W.-K. 3 sq. bis -ϹΙΝ. 5 ЄΙϹΙ. 5 sq. *εἰς ⟨δὲ⟩ Θαργ.* K.[1], *εἰς Θ. ⟨δὲ⟩* W.-K., sed fuisse videtur Δ(Є) in chart. (H.-L.; *Θ. [δὲ]* K.[3], app.). 6 *δυοῖν* H.-L. 8 ΤΑϹΚΗΨЄΙϹ. *λελητουργηκέναι* (Sandys) W.-K. (vid. pr. ΛЄΛΟΥΤΗΡΓ fuisse, cf. v. 10) et K.[3] 9 *φῇ π[ρό]τερον* K.[3] *λῃτουργίαν* (ΛЄΙΤ pr.; punctis inclusae litt. ЄΙ) K.; tum *ἢ ἀ[τ. εἶναι* recte W.-K., K.[3] 10 *λελη[τουργηκὼς ἑ]τ.* K.[3] (supr. ΗΙ scriptum ЄΙ pro v. l. ΛΟΥΤΗΡΓΙΑΝ pr. 11 *τῆς ἀτελ.* W.-K. *ἐξελη[λυ]θό[των* K.[3] *τὰ μ΄] ἔτη* K.[3]; sed sufficit *τὰ*. 12 suppl. K. ex Harp. 14 *ἀρχιθέωρον* (Lipsius, Fränkel) W.-K.: *-ρους* (Torr) H.-L., K.[3] Cf. Kb. 15 *ἐπιμελεῖται* (Ruth., al.) W.-K., H.-L., K.[3] 16 *τῆς τ[ε* Wn. (*τῆς τε]* K.), recte ut vid. (K.). 16 sq. *οἱ μύσται* falso H.-L. 20 *ἀνήλισκον* recte (Bl., Condos) W.-K.

μελ[εῖτα]ι δὲ καὶ τῆς εἰς Θαργήλια καὶ τῆς τῷ Διὶ τῷ
Σωτῆρι. διοικεῖ δὲ καὶ τὸν ἀγῶνα τῶν Διονυσίων
οὗτος καὶ τῶν Θαργηλίων. ἑορτῶν μὲν οὖν ἐπιμελεῖ-
6 ται τούτων. γραφαὶ δ[ὲ καὶ δ]ίκαι λαγχάνονται πρὸς
αὐτόν, ἃς ἀνακρίνας εἰς [τὸ] δικαστήριον εἰσά[γει,
γο]νέων κακώσεως (αὗται δ' εἰσὶν ἀζήμιοι τῷ βουλο-
μένῳ δ[ι]ώκειν), ὀρφανῶν κ[ακώ]σεως (αὗται δ' εἰσὶ
κατὰ τῶν ἐπιτρόπων), ἐπικλήρου κακώσε[ως (αὗ]ται δ'
εἰσὶ κατὰ τῶν ἐπιτρόπων καὶ τῶν συνοικούντων), οἴκου
ὀρφανικοῦ κακώσεως (εἰσὶ δὲ καὶ [αὗται κατὰ τῶν]
ἐπιτρόπων), παρανοίας, ἐάν τις αἰτιᾶταί τινα παρα-
νοοῦντα τὰ [ὑπάρχοντα] ἀπολλύν[αι], εἰς δατητῶν
αἵρεσιν, ἐάν τις μὴ θέλῃ τ[ὰ] κοινὰ [ὄντα νέμεσθ]αι,
εἰς ἐπι[τρ]οπῆς κατάστασιν, εἰς ἐπιτροπῆς διαδικασίαν,
εἰς [ἐμφανῶν κατάστασ]ιν, ἐπίτρ[οπ]ον αὐτὸν ἐγγράψαι,
7 κλήρων καὶ ἐπικλήρων ἐπι[δικασίαι. ἐπιμελεῖτ]αι δὲ
καὶ τῶν [ὀρφ]ανῶν καὶ τῶν ἐπικλήρων, καὶ τῶν γυ-
ναικῶν ὅσαι ἂν τελευτή[σαντος τοῦ ἀνδ]ρὸς σκή-

---

TESTIM. § 5. 6. 7 Poll. 8, 89. § 6 lex. Cant. ἐπώνυμος. Bekk. An. 310 (cf. 269). Phot. Suid. ἡγεμονία δικαστηρίου. 12 sq. *lex. Cant. εἰς δατητῶν αἵρεσιν. *Harp. δατεῖσθαι. *Et. M. δατητής. 15 *Harp. εἰς ἐμφανῶν κατάστασιν. schol. Ar. Vesp. 769.

---

5 εἰς τ[ὸ δι]κ. W.-K.$^{1.2}$, εἰς τὸ δ. Wn., W.-K.$^{3}$, quod non improbat K., nisi quod τὸ negat certo agnosci. Cf. ad p. 86, 6. 10. (Ipse εἰς δ[ι]κ. agnoscere mihi visus sum, εἶτ' [εἰς δι]κ. antehac K.) 6 γονέων (Wyse, Bl., al.) W.-K., H.-L., K.$^{3}$ 7—10 suppl. K. 10 ΟΡΦΑΝΟΥ, adscr. v. l. (ΟΡΦΑΝ)ΙΚ(ΟΥ).

12 τὰ [ἑαυτοῦ κτήματα ἀ]π. K. (nimium pro spat.), τὰ π[ατρῷα ἀ]π. (Wyse) H.-L., τὰ [ὑπάρχοντα ego ed. 1 (τὰ [οἰκεῖα Kb., cui adversatur K. propter primae litt. vest., τὰ ἑαυτοῦ Papageorg. Bl.$^{2}$, quod negat exstitisse Wn., certe spatio non sufficere dicit K.). ΔΙΑΙΤΗΤ(ΩΝ), corr. (ex Harp. et lex. Cant.) K. 13 ΘΕΛΗΤ . Κ sec. Wn. (ΘΕΛΗΙΚ. fuisse putat K.); θ. [κ]οινὰ [τὰ ὄντα νέμ. K. (e lex Cantabr.), app. 15 suppl. W.-K. (ex Harp.), K.$^{3}$ 16—90, 1 suppl. K. (e Polluce); 18 sq. ΡΟΣΚΗ sec. W.-K. (Wn.), sed negat K.

[πτω]νται κυεῖν· καὶ κύριός ἐστι τοῖς ἀδικοῦσιν ἐπιβάλ[λειν ἢ εἰσάγειν εἰς] τὸ δικα[στή]ριον. μισθοῖ δὲ καὶ τοὺς οἴκους τῶν ὀρφανῶν καὶ τῶν ἐπικλ[ήρων, ἕως ἄν τις τετταρ]ακαιδε[κέ]τις γένηται, καὶ τὰ ἀποτιμήματα λαμβάνει, [καὶ τοὺς ἐπιτρόπους], ἂν μὴ [δι]δῶσι τοῖς παισὶ τὸν σῖτον, οὗτος εἰσπράττει.

LVII. καὶ ὁ [μὲν ἄρχων ἐπιμελεῖτ]αι τούτ[ων. ὁ] δὲ βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖ[ται, μετὰ τῶν ἐπιμελητῶν ὧ]ν ὁ δῆμ[ος χ]ειροτονεῖ, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' [ἐξ Εὐμολπιδῶν, ἕνα] δ' ἐκ Κηρ[ύκω]ν. ἔπειτα Διονυσίων τῶν ἐπὶ Ληναίῳ· ταῦτα δέ ἐστι [πομπ]ή [τε καὶ ἀγών]. τὴν μὲν pag. 29 οὖν πομπὴν κοινῇ πέμ¦πουσιν ὅ τε βασιλεὺς καὶ οἱ ἐπιμεληταί, τὸν δὲ ἀγῶνα διατίθησιν ὁ βασιλεύς. τίθησι δὲ καὶ τοὺς τῶν λαμπάδων ἀγῶνας ἅπαντας· ὡς δ' ἔπος εἰπεῖν καὶ τὰς πατρίους θυσίας διοικεῖ οὗτος ἁπάσας. γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας, 2

---

TESTIM. 6 *Harp. σῖτος. LVII Pollux 8, 90. Phot. ἡγεμ. δικαστ. Bekk. An. 219. 7—11 *Harp. ἐπιμελητὴς τῶν μυστηρίων (ὁ δὲ βασ. — Κηρύκων). § 2. 3 Poll. 8, 117. Bekk. An. 310 sq.

---

2 suppl. Lipsius, W.-K., K.[3] 4 supplevi (..TЄIC, superscr. pro v. l. H supra Є). Τετρακαιδεκ. (Isocr. 19, 22) praefert Papageorg., cf. app. 5 suppl. W.-K. (Brooks, Pantazid.); [κ. τ. ἐπ. οἳ] (ЄAN i. e.) ἂν H.-L. (app.). μὴ W.-K., H.-L. διδῶσι K.[1], W.-K.: ἀποδιδ. (Pantazid.) H.-L., ἀπο]δῶσι K.[3] 7 suppl. (Bl., H.) W.-K., H.-L., K.[3] 8 sq. suppl. K. (ex Harp.); ὧ]ν ego (it. Wn., W.-K.[3]; οὓς supplebatur). 9 ἐχ]ειροτόνει K.[1] ex Harp., corr. (Jos. Mayor, Bl., al.) W.-K., H.-L. 10 sq. Εὐμ. K. ex Harp.; δ' ἐξ et δ' ἐκ K. (ΔЄKHP; alterum ·K· superscr. esse testatur Wn.) ex eodem (Gertz) W.-K., H.-L. 11 sq. ΛHNAIΩN, corr. (Bywater, Bl., al.) H.-L., K.[3]; contra Ἐπιληναίων W.-K.[3] 12 π. καὶ ἀγ. (L.) H.-L.; [τε καὶ (ut p. 61, 3) ἀ.] Kb., Papageorg., W.-K.[3] (spatio aptum esse test. Wn.). Tum τὴν (H., John Mayor, al.) W.-K., H.-L. 14 ⟨δια⟩τίθησι (Richards, al.) W.-K., H.-L.; def. τίθ. S., cf. p. 84, 3 γνωσθέν (app.). 16 καὶ del. H.-L. 17 ΠACAC (διοικεῖ πάσας οὗτος Diels ut 91, 3, app.).

καὶ ἄν τις ἱερωσύνης ἀμφισβητῇ πρός τινα. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν *γερῶν ἁπάσας οὗτος. λαγχάνονται δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον, καὶ ὁ
3 προαγορεύων εἴργεσθαι τῶν νομίμων οὗτός ἐστιν. εἰσὶ δὲ φόν[ου] δίκαι καὶ τραύματος, ἂν μὲν ἐκ προνοίας ἀποκτείνῃ ἢ τρώσῃ, ἐν Ἀρείῳ πάγῳ, καὶ φάρμακον ἂν ἀποκτείνῃ δούς, καὶ πυρκαϊᾶς· ταῦτα γὰρ ἡ βουλὴ μόνα δικάζει· τῶν δ' ἀκουσίων καὶ βουλεύσεως, κἂν οἰκέτην ἀποκτείνῃ τις ἢ μέτοικον ἢ ξένον, οἱ ἐπὶ Παλλαδίῳ· ἐὰν δ' ἀποκτεῖναι μέν τις ὁμολογῇ, φῇ δὲ κατὰ τοὺς νόμους, οἷον μοιχὸν λαβὼν ἢ ἐν πολέμῳ ἀγνοήσας ἢ ἐν ἄθλῳ ἀγωνιζόμενος, τούτ[ῳ] ἐπὶ Δελφινίῳ δικάζουσιν· ἐὰν δὲ φεύγων φυγὴν ὧν ἄρεσίς ἐστιν, αἰτίαν ἔχῃ ἀποκτεῖναι ἢ τρῶσαί τινα, τούτῳ δ'
4 ἐν Φρεάτου δικάζουσι, ὁ δ' ἀπολογεῖται προσορμισά-

TESTIM. 9 *Harp. βουλεύσεως. schol. Aesch. 2, 87. 11 *Harp. ἐπὶ Παλλαδίῳ. 13 *id. ἐπὶ Δελφινίῳ.

1 ΚΑΝ. add. post τινα ⟨διαδικάζει οὗτος⟩? cf. 98, 7, app. 3 ΙΕΡΩΝ (plerique γερῶν e Bk. An. 219; sed ἱερῶν defendit Richards, cf. Bk. Anecd. 310). 7 ἀποκτ. ⟨τις⟩ Papageorg. ἢ τρώσῃ recte W.-K. (ἢ supra v. ut vid.). φαρμάκων W.-K., S.; app. 8 ΕΑΝ. πυρκαϊᾶς app. ταῦτα K.; γὰρ W.-K., H.-L. 9 μόνη H.-L. (app.). 10sq. οἱ ἐπὶ Π. recte K.[3] Supplendum δικάζουσιν ex δικάζει. 13 τού[τῳ] ἐπὶ K.[3] (qui certum putat), τούτ[ῳ] Wn., W.-K.[3]; τούτ[ῳ] δὲ [ἐπ]ὶ Lipsius, τ. οἱ] ἐπὶ Papageorg. 14 legebatur αἴδεσις; sed exstat Α·ΙΔ·ΕСΙС cum suprascr. v. l. .Ρ· (supra ΙΔ) i. e. ἄρεσις (Weil), quod recipiendum duxi (Kb.). 15 [αἰτίαν προσλάβῃ] κτ. K.[1], H.-L., αἰτίαν ἔχῃ ἀποκτ. (sec. Dem. 23, 77) W.-K. (agn. Wn.), K.[3]; fort. aoristus praestet, etiam ap. Dem., sed K. ante ΧΕ magis quam С. 15sq. τούτῳ οἱ ἐν vel. τ. ἐν Papageorg. 16 ΦΡΕΑΤΟΥ, cf. Dem. l. c. 77sq., ubi φρεαιτου pr. S, Phot. ἐς Φρεάτου: Φρεατοῖ Harpocr., Φρεαττοῖ K., H.-L. Nomen inditum sec. Harp. ἀπό τινος Φρεάτου ἥρωος. -СΙΝ. ὁ δὲ [ἀπολ. W.-K.[1.2], K.[3], [ὁ δ' ἀπ. H.-L. rectius (sine uncis Wn., W.-K.[3]).

μενος ἐν πλοίῳ. δικάζουσι δ' οἱ λαχόντες τα............, πλὴν τῶν ἐν Ἀρείῳ πάγῳ γιγνομένων, εἰσάγει δ' ὁ βασιλεύς, καὶ δικάζο[υσιν] ἐν ἱερ[ῷ] καὶ ὑπαίθριοι, καὶ ὁ βασιλεὺς ὅταν δικάζῃ περιαιρεῖται τὸν στέφανον ὁ δὲ τὴν αἰτίαν ἔχων τὸν μὲν ἄλλον χρόνον εἴργεται τῶν ἱερῶν, καὶ οὐδ' εἰς τὴν ἀγορὰν ν[όμος] ἐμβαλεῖν αὐτῷ· τότε δ' εἰς τὸ ἱερὸν εἰσελθὼν ἀπολογεῖται. ὅταν δὲ μὴ εἰδῇ τὸν ποιήσαντα, τῷ δράσαντι λαγχάνει, δικάζει δ' ὁ βασιλεὺς καὶ οἱ φυλοβασιλεῖς, καὶ τὰς τῶν ἀψύχων καὶ τῶν ἄλλων ζῴων.

LVIII. ὁ δὲ πολέμαρχος θύει μὲν θυσίας τήν τε τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δ' ἀγῶνα τὸν ἐπιτάφιον, καὶ τοῖς τετελευτηκόσιν ἐν τῷ πολέμῳ καὶ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐναγίσματα ποιεῖ. δίκαι δὲ λαγχάνονται πρὸς αὐτὸν ἴδιαι μὲν 2
αἵ τε τοῖς μετοίκοις καὶ τοῖς ἰσοτελέσι καὶ τοῖς προξένοις γιγνόμεναι· καὶ δεῖ τοῦτον λαβόντα καὶ δια-

TESTIM. 7 sqq. cf, Poll. 8, 120 (non ex Aristot.). LVIII Poll. 8, 91. § 1 Bekk. An. 290.

1 litt. post τα mihi vel A vel Є vel C fuisse visa est, falsum ταῦτα (K., rell.). Conieci τὰς δίκας vel κρίσεις (Harp. ἐφέται); tum ἐφέται (ex Harp.) K. rell.; δικασταί Paton, H.-L. Sed Wn. TAI.A....C; hinc (Kb.) W.-K.$^{3}$ ταῦτ' ἄνδρες.
3 restitui e vestigiis (quae sunt et. YCI[N] litt.); it. Wn., W.-K.$^{3}$
6 οὐδ' εἰς τὴν ἀγορὰν (Wyse, v. Leeuw., Bl., al.) W.-K., H.-L. ν[όμος Bl.$^{2}$, W.-K.$^{3}$ (legebatur δ[ίκαιον vel δ[έδοται; supplem. certum non esse dicunt W.-K.$^{3}$; app.). 8 μὴ εἰδῇ W.-K. (Wyse), K.$^{3}$; add. ⟨τις⟩ (coll. Dem. 23, 76) Papageorg.
11 θύει μὲν recte W.-K., K.$^{3}$ τήν τε τῇ] τῇ τε W.-K., concedentes τήν τε τῇ correctorem voluisse; sed eadem etiam a pr. m. fuisse affirmat K. 12 lego ЄNYAΛΛIΩI (transfixa omnia a N ad alt. I) ṆỴ̣Α̣Λ̣Λ̣Ị̣Ω̣Δ̣Ị̣Α̣; superscr. supra primas litt. ЄNYΩ. (sic, sed paullo incertius punctum). 13 καὶ del. K., H.-L., coll. Poll.; def. Kb., Wil. I, 249 (ἐπὶ pro καὶ Papageorg.; app.).
15 ἴδιαι] IΔI a corr. ante vers. μόνον W.-K. (app.). 16 καὶ ⟨αἱ⟩ τοῖς προξ. Kb., W.-K.$^{3}$ 17 γιγνόμεναι pr., sed transfixae litt. AI, superscr. et alia, quae legi non possunt, et .OIC

νείμαντα δέκα μέρη, τὸ λαχὸν ἑκάστῃ τῇ φυλῇ μέρος προσθεῖναι, τοὺς δὲ τὴν φυλὴν δικάζοντας τοῖς διαι-
3 τηταῖς ἀποδοῦναι. αὐτὸς δ' εἰσάγει δίκας τάς τε τοῦ ἀ[π]οστασίου καὶ ἀπροστασ[ίου] καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἆλλ' ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος.

LIX. οἱ δὲ θεσμοθέται πρῶτον μὲν τοῦ προγράψαι τὰ δικαστήριά εἰσι κύριοι, τίσιν ἡμέραις δεῖ δικάζειν, ἔπειτα τοῦ δοῦναι ταῖς ἀρχαῖς· καθότι γὰρ ἂν
2 οὗτοι δῶσιν, κατὰ τοῦτο χρῶνται. ἔτι δὲ τὰς εἰσαγγελίας, ⟨ἃς⟩ εἰσαγγέλλουσιν εἰς τὸν δῆμον, καὶ τὰς καταχειροτονίας καὶ τὰς προβολὰς ἁπάσας εἰσάγουσι οὗ[τ]οι, καὶ γραφὰς παρανόμων, καὶ νόμον μὴ ἐπιτήδειον θεῖναι, καὶ προεδρικὴν καὶ ἐπιστατικὴν καὶ
3 στρατηγοῖς εὐθύνας. εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βου-

---

TESTIM. § 3 *Harp. πολέμαρχος (αὐτὸς — ἐπικλ.). ἀποστασίου. schol. Ar. Vesp. 1042. Hesych. et Phot. Λυκαμβὶς ἀρχή. Bekk. An. 310. Phot. Suid. ἡγεμ. δικ. LIX 1—6 Poll. 8, 87. *Harp. θεσμοθέται. § 1. 2 Phot. θεσμοθέται. schol. Plat. Phaedr. 235 D. schol. Aeschin. 1, 16. § 3 *Harp. παράστασις (εἰσὶ — συκοφ.). δωροξενία. *lex. Cant. ξενίας γραφή (εἰσὶ — ξενίαν). Harp. ἡγεμονία δικαστηρίου. Bekk. An. 310. Phot. ἡγ. δικ. Hesych. δωροξενίας. Poll. 8, 44.

---

(punctum ante O?), = (γιγνομέν)οις. 3 τοῦ] cf. Mus. Rh. XLIV, 22. 4 καὶ ἀπροστ. (ΚΑΙΠΡΟϹΤ ?) supra v. ab al. m. καὶ ⟨τὰς⟩ κλ. Papageorg. 11 εἰσαγγέλλουσιν (ita chart.) εἰς τὸν δῆμον secl. W.-K. (hab. Poll. Phot., εἰσῆγον s. -άγειν schol. Pl. Aesch., εἰς τ. δ. om. sch. Pl.). Malui inserere ἃς, cf. c. 43, 4; Praefat. § 3; app. 13 καὶ ⟨τοῦ⟩ νόμον (Jos. Mayor) H.-L. -ϹΙΝ. 17 τὴν ξενίας (Meier) H.-L. 18sq. ψευδοκλ. . . μοιχείας] ita etiam Pollux et Harp. v. παράστ.; sed id. v. ἡγεμονία δικ. (cf. Bk. An., Phot.) ὕβρεως καὶ μοιχείας καὶ βουλεύσεως καὶ ἄλλων.

λεύσεως καὶ ἀγραφίου καὶ μοιχείας. εἰσάγουσιν δὲ καὶ 4
τὰς δοκιμασίας ταῖς ἀρχαῖς ἁπάσαις, καὶ τοὺς ἀπεψη-
φισμένους ὑπὸ τῶν δημοτῶν, καὶ τὰς καταγνώσεις τὰς
ἐκ τῆς βουλῆς. εἰσάγουσι δὲ καὶ δίκας ἰδίας, ἐμπορι- 5
κὰς καὶ μεταλλικάς, καὶ δούλων, ἄν τις τὸν ἐλεύθερον
κακῶς λέγῃ. καὶ ἐπικληροῦσι ταῖς ἀρχαῖς οὗτοι τὰ
δικαστήρια τά ⟨τ'⟩ ἴδια καὶ τὰ δημόσια. καὶ τὰ σύμβολα 6
τὰ πρὸς τὰς πόλεις οὗτοι ⟨κατα⟩κυροῦσι, καὶ τὰς δίκας
τὰς ἀπὸ τῶν συμβόλων εἰσάγουσι, καὶ τὰς ψευδομαρτυ-
ρίων ⟨τῶν⟩ ἐξ Ἀρείου πάγου.

τοὺς δὲ δικαστὰς κληροῦσι πάντες οἱ ἐννέα ἄρχον- 7
τες, δέκατος δ' ὁ γραμματεὺς ὁ τῶν θεσμοθετῶν, τοὺς
τῆς αὑτοῦ φυλῆς ἕκαστος.

LX. τὰ μὲν οὖν περὶ τοὺς θ' ἄρχοντας τοῦτον ἔχει τὸν τρόπον. κληροῦσι δὲ καὶ ἀθλοθέτας δέκα ἄνδρας, ἕνα τῆς φυλῆς ἑκάστης. οὗτοι δὲ δοκιμασθέντες ἄρχουσιν τέτταρα ἔτη, καὶ διοικοῦσι τήν τε πομπὴν τῶν Παναθηναίων καὶ τὸν ἀγῶνα τῆς μουσικῆς καὶ τὸν γυμνικὸν ἀγῶνα καὶ τὴν ἱπποδρομίαν, καὶ τὸν πέπλον ποιοῦνται, καὶ τοὺς ἀμφορεῖς ποιοῦνται μετὰ τῆς βου-

---

testim. 9 *Bekk. An. 436. 11 Poll. 8, 87. schol. Ar. Vesp. 775. LX, 1 Pollux 8, 93 (cf. 87).

---

6 οὗτοι recte W.-K., K.[3]. Toti sententiae καὶ ἐπικλ... δημόσια W.-K.[3] notas ‖ ... ‖ apponunt, quia eadem dicta erant p. 93, 9 sq. Habuit Pollux, qui om. p. 93, 9 sq. Cf. pag. XXXII, 32; app. 7 τά ⟨τ'⟩ ἴδ. Kb., ⟨καὶ⟩ τὰ ἴ. Papageorg. 8 ⟨κατα⟩κυροῦσι Wyse (κυροῦσι etiam Poll.). 10 TAC pr. pro τὰ; mutatum C in Ψ; tum -YPIA, sed τὰς τῶν ψευδομαρτυριῶν τῶν Pollux, unde τὰ add. (H., Bernardakis) W.-K., H.-L., v. app. 11—13 τοὺς δὲ .. ἕκαστος secl. W.-K.[2]; cf. p. 98, 12. Legisse vid. Pollux (8, 87), v. Kb.; def. Teusch; tuetur et. Wil. I, 243. 296, sed ut separentur a prioribus, cui obsecutus sum (it. W.-K.[3]). cf. app. 11 ΠΑΝΤΑC, corr. K., H.-L. 19 ⟨καὶ τὴν εὐανδρίαν⟩ καὶ τὴν coll. p. 95, 19 Papageorg., ⟨καὶ τῆς εὐ-ας⟩ post μουσ. Sakell. (app.). 20 ποιοῦνται post ἀμφ. del. (H., Gennadios) W.-K., H.-L. Interpungendum post prius ποιοῦνται, cf. c. 49, 3 (app.).

2 λῆς, καὶ τὸ ἔλαιον τοῖς ἀθληταῖς ἀποδιδόασι. συλλέγεται δὲ τὸ ἔλαιον ἀπὸ τῶν μοριῶν· εἰσπράττει δὲ τοὺς τὰ χωρία κεκτημένους ἐν οἷς αἵ μορίαι εἰσὶν ὁ ἄρχων, τρί' ἡμικοτύλια ἀπὸ τοῦ στελέχους ἑκάστου. πρότερον δ' ἐπώλει τὸν καρπὸν ἡ πόλις· καὶ εἴ τις ἐξορύξειεν ἐλάαν [[μορίαν]] ἢ κατάξειεν, ἔκρινε ἡ ἐξ Ἀρείου πάγου βουλή, καὶ εἴ [τ]ου καταγνοίη, θανάτῳ τοῦτον ἐζημίουν. ἐξ οὗ δὲ τὸ ἔλαιον ὁ τὸ χωρίον κε||κτημένος ἀποτίνει, pag. 30 ὁ μὲν νόμος ἐστίν, ἡ κρίσις δὲ καταλέλυται· τὸ γὰρ ἔλα[ιον] ἐκ τοῦ κτήματος, οὐκ ἀπὸ τῶν στελεχῶν ἐστιν
3 τῇ πόλει. συλλέξας οὖν ὁ ἄρχων τὸ ἐφ' αὐ[τοῦ] γεγενημένον, τοῖς ταμίαις παρ[αδί]δωσιν εἰς ἀκρόπολιν, καὶ οὐκ ἔστι ἀναβῆναι πρότερον εἰς Ἄρειον πάγον, πρὶν ἂν ἅπαν παραδῷ τοῖς ταμίαις. οἱ δὲ ταμίαι τὸν μὲν ἄλλον χρόνον τηροῦσι ἐν ἀκροπόλει, τοῖς δὲ Παναθηναίοις ἀπομετροῦσιν τοῖς ἀθλοθέταις, οἱ δ' ἀθλοθέται τοῖς νικῶσι τῶν ἀγωνιστῶν. ἔστι γὰρ ἆθλα τοῖς μὲν τὴν μουσικὴν νικῶσιν ἀργύριον καὶ χρυσία, τοῖς δὲ τὴν εὐανδρίαν ἀσπίδες, τοῖς δὲ τὸν γυμνικὸν ἀγῶνα καὶ τὴν ἱπποδρομίαν ἔλαιον. — —

LXI. χειροτονοῦσιν δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἀρχὰς ἁπάσας, στρατηγοὺς *δέκα, πρότερον μὲν ἀφ'

---

testim. 1 sq. *schol. Soph. OC. 701. LXI § 1. 2. 4. 5 Pollux 8, 87. 22. *Harp. στρατηγοί.

---

1 sq. ϹΥΛΛΕΓϾΤΑΙΤΟΔϾϾΛ, corr. (H., Richards, al.) H.-L., K.[3] (τὸ δὲ ἔλ. συλλ. Hicks, Bernardakis, W.-K.; app.). 6 μορίαν del. (H.) H.-L. (app.). -ͶϾͶ. 7 εἴ του H.-L., K.[3] 9 ΔϾΚΡΙϹΙϹ (app.). γὰρ scripsi: Δ(Ͼ) (app.). 10 ΑΠΟΤΟΥ adscr. v. l. ϾΚ pro ἀπὸ, quam rec. omnes (τὸ ἐκ H.-L.), app. κτήματος recte W.-K. ϾϹΤΙ. 11 ϾΑΥ ... 11 sq. γεγενημένον scripsi: ΓΙΓͶ. (app.). 13 ϾϹΤΙͶ. 15 -ϹΙͶ. 16 -ϹΙ. 18 ἀργύριον W.-K. (ἀργυρᾶ Rutherf.): ΑΡΓΥΡΙΑ. χρυσία H.-L., K.[3]: ΧΡΥϹΑ (app.).
post v. 20 lac. maior sec. (Weil) W.-K.; cf. c. 43, 1 et hic χειροτ. δὲ καὶ. Iam Pollux (VIII, 87) non aliter legisse vid.; καὶ del. ci. K.[3] (app.). 21 -ϹΙ. 22 δέκα (K.) W.-K., H.-L., K.[3]: Δ(Ͼ)Κ(ΑΙ).

⟨ἑκάστης⟩ φυλῆς ἕνα, νῦν δ' ἐξ ἁπάντων· καὶ τού-
τους διατάττουσι τῇ χειροτονίᾳ, ἕνα μὲν ἐπὶ τοὺς
ὁπλίτας, ὃς ἡγεῖται τῶν ὁπλιτῶν, ἂν ἐξίωσι, ἕνα δ'
ἐπὶ τὴν χώραν, ὃς φυλάττει, καὶ ἂν πόλεμος ἐν τῇ χώρᾳ
γένηται, πολεμεῖ οὗτος· δύο δ' ἐπὶ τὸν Πειραιέα, τὸν
μὲν εἰς τὴν Μουνιχίαν, τὸν δὲ εἰς τὴν Ἀκτήν, οἳ τῆς
φυλ⟨ακ⟩ῆς ἐπιμελοῦνται καὶ τῶν ἐν Πειραιεῖ· ἕνα δ'
ἐπὶ τὰς συμμορίας, ὃς τούς τε τριηράρχους καταλέγει,
καὶ τὰς ἀντιδόσεις αὐτοῖς ποιεῖ, καὶ τὰς διαδικασίας
αὐτοῖς εἰσάγει· τοὺς δ' ἄλλους πρὸς τὰ παρόντα ⟦πρά-
γματα⟧ ἐκπέμπουσι. ἐπιχειροτονία δ' αὐτῶν ἐστι κατὰ 2
τὴν πρυτανείαν ἑκάστην, εἰ δοκοῦσι καλῶς ἄρχειν·
κἄν τινα ἀποχειροτονήσωσι, κρίνουσιν ἐν τῷ δικα-
στηρίῳ, κἂν μὲν ἁλῷ τιμῶσιν ὅ τι χρὴ παθεῖν ἢ ἀπο-
τεῖσαι, ἂν δ' ἀποφύγῃ πάλ[ιν] ἄρχει. κύριοι δέ εἰσιν
ὅταν ἡγῶνται καὶ δῆσαι τὸν ἀτακτοῦντα καὶ ⟨ἐκ⟩κ[η]-
ρύξαι καὶ ἐπιβολὴν ἐπιβάλλειν· οὐκ εἰώθασι δὲ ἐπι-
βάλλειν.

χειροτονοῦσι δὲ καὶ ταξιάρχους δέκα, ἕνα τῆς 3
φυλῆς ἑκάστης· οὗτος δ' ἡγεῖται τῶν φυλετῶν, καὶ
λοχαγοὺς καθίστησιν.

χειροτονοῦσι δὲ καὶ ἱππάρχους δύο ἐξ ἁπάντων· 4
οὗτοι δ' ἡγοῦνται τῶν ἱππέων, διελόμ[ενοι] τὰς φυλὰς

---

TESTIM. 9 Phot. ἡγεμ. δικ. § 3 Bekk. An. 306.

---

1 ἑκάστ. add. K. (app.) 3 ὁπλιτῶν (v. L., Lips., Richards) H.-L. (K.[3]), recte ut vid. (ΟΠΛ . . Τ(ΩΝ) i. e. ὁπλειτῶν Wn.). 5 ΓΙΝ (app.). πολεμεῖ] ἡγεῖται W.-K. 6 ΜΟΥΝΥΧ. 7 Φ[Υ]ΛΗΣ recte legit K., qui emend. καὶ del. W.-K. (app.). 10 αὐτοῖς secl. W.-K. 10 sq. πράγματα supra v. a corr.; del. H.-L. (app.). 11 sqq. ter -ΣΙΝ. 14 ΑΛΛΩΙ suprascr. Ω; ἁλῷ K. 15 πάλιν recte ut vid. (Pantazides) W.-K., K.[3]. 16 τὸν corrigunt W.-K., H.-L.: ΤΙΝ (τιν'), cf. p. 97, 17. 16 sq. ⟨ἐκ⟩κηρ. (Bl., Lips.) W.-K., H.-L.

ε΄ ἑκάτερος· κύριοι δὲ τῶν αὐτῶν εἰσιν, ὧνπερ οἱ στρατηγοὶ κατὰ τῶν ὁπλιτ[ῶν. ἐπιχειρ]οτονία δὲ γίγνεται ⟨καὶ⟩ τούτων.

5 χειροτονοῦσι δὲ καὶ φυλάρχους ⟨ι΄⟩, ἕνα τῆς φυλῆς, τὸν ἡγησόμενον ⟨τῶν ἱππέων⟩, ὥσπερ οἱ ταξίαρχοι τῶν ὁπλιτῶν.

6 χειροτονοῦσι δὲ καὶ εἰς Λῆμνον ἵππαρχον, ὃς ἐπιμελεῖται τῶν ἱππέων τῶν ἐν Λήμνῳ.

7 χειροτονοῦσι δὲ καὶ ταμίαν τῆς Παράλου καὶ ν[ῦν] τῆς το[ῦ] Ἄμμωνος.

LXII. αἱ δὲ κληρωταὶ ἀρχαὶ πρότερον μὲν ἦσαν αἱ μὲν μετ' ἐννέα ἀρχόντων ἐ[κ] τῆς φυλῆς ὅλης κληρούμεναι, αἱ δ' ἐν Θησείῳ κληρούμεναι διῃροῦντο εἰς τοὺς δήμ[ο]υς· ἐπειδὴ δ' ἐπώλουν οἱ δῆμοι, καὶ ταύτας ἐκ τῆς φυλῆς ὅλης κληροῦσιν, πλὴν βουλευτῶν καὶ φρουρῶν· τούτους δ' εἰς τοὺς δήμους ἀποδιδόασι.

2 μισθοφοροῦσι δὲ πρῶτον [μὲν ὁ δῆμος] ταῖς μὲν ἄλλαις ἐκκλησίαις δραχμήν, τῇ δὲ κυρίᾳ ἐννέα ⟨ὀβολούς⟩· ἔπειτα τὰ δικ[αστήρια] τρεῖς ὀβολούς· εἶθ' ἡ βουλὴ πέντε ὀβολούς· τοῖς δὲ πρυτανεύουσιν εἰς σίτησιν [ὀβολὸς π]ροστίθεται ⟦δέκα προστίθενται⟧. ἔπειτ'

---

TESTIM. § 4. 5 Phot. ἵππαρχοι. Poll. 8, 94. *Harp. ἵππαρχος. *Harp. φύλαρχος. § 7 *Harp. ταμίαι. Phot. ταμίαι. Poll. 8, 116. *lex. Cant. πάραλος.

---

1 ΩΝΠΕΡΕΙΣΙΝ, transpos. W.-K., H.-L. 3 καὶ add. (H., Gertz, Lipsius, Pantazid.) W.-K., H.-L. 4 δέκα (ι΄) add. (Richards) W.-K., H.-L. 5 τῶν ἱππ. (ex Poll. VIII, 94) add. K.
10 legebant ἄλλον τῆς (THC supra v.), non recte; δ..ατῆς Wn., W.-K.³, sed K. Δ valde dubium esse dicit; ex mea lectione (νῦν) agnosci posse N, fort. et. Y, sed cum altero N vestigia magis discrepare. 12 μετὰ τῶν ἐ. ἀ. (Gennadios) H.-L. 13 Θησ. κληρούμεναι, ⟨αἳ⟩ (Gertz) H.-L. 15 -CI. 16 falso δημότας legebatur (δήμους et. Wn., W.-K.³). 17 ὁ δῆμος K., rell.; Weilius de prohedris agi putat; excidisse quae de populi mercede dicta erant. 18 sq. ὀβολούς add. W.-K., H.-L. 21 supplevi et emen-

εἰς σίτησιν λαμβάνουσιν ἐννέ[α ἄρχον]τες τέττα[ρας] ὀβολοὺς ἕκαστος, καὶ παρατρέφουσι κήρυκα καὶ αὐλητήν· ἔπειτ' ἄρχων [εἰς Σαλα]μῖνα δραχ[μὴν] τῆς ἡμέρας. ἀθλοθέται δ' ἐν πρυτανείῳ δειπνοῦσι τὸν Ἑκ[ατ]ομβαιῶνα μῆνα, ὅ[τ]αν ᾖ τὰ Παναθήναια, ἀρξάμενοι ἀπὸ τῆς τετράδος ἱσταμένου. ἀμφικτύονες εἰς Δῆλον δραχμὴν τῆς ἡμέρας ἑκάστης ἐκ Δήλου. λαμβάνουσι δὲ καὶ ὅσαι ἀποστέλλονται ἀρχαὶ εἰς Σάμον ἢ Σκῦρον ἢ Λῆμνον ἢ Ἴμβρον εἰς σίτησιν ἀργύριον.

ἄρχειν δὲ τὰς μὲν κατὰ πόλεμον ἀρχὰς ἔξεστι 3 πλεονάκις, τῶν δ' ἄλλων οὐδεμίαν, πλὴν βουλεῦσαι δίς.

LXIII. τὰ δὲ δικαστήρια [κ]ληρ[οῦ]σι[ν] οἱ θ' ἄρχοντες κατὰ φυλάς, ὁ δὲ γραμματεὺς τῶν θεσμο[θετῶν τῆς] δεκάτης φυλῆς. εἴσοδοι δέ εἰσιν εἰς [τὰ] δικαστ[ή]ρια 2 δέκα, μία τῇ φυλῇ ἑκάστῃ, καὶ κλη[ρωτήρια] εἴκοσι, δ[ύο τ]ῇ φυλῇ ἑκάστῃ, καὶ κιβώτια ἑκατόν, δέκα τῇ φυλῇ ἑκάστῃ, καὶ ἕτερα κιβώτι[α, εἰς ἃ] ἐμβάλλεται τῶν λαχόντων δικαστῶν τὰ πινάκια, καὶ ὑδρίαι δύο. καὶ βακτηρίαι παρατίθενται κατὰ τὴν ε[ἴσοδον] ἑκάστην, ὅσοιπερ οἱ δικασταί, καὶ βάλανοι εἰς τὴν ὑδρίαν ἐμβάλλονται ἴσαι ταῖς βακτηρίαις, γέγραπται δὲ ἐν ταῖς

---

TESTIM. LXIII schol. Ar. Vesp. 775. schol. Arist. Plut. (edit. Iunt.) 277 (p. 340a 25 Duebner).

---

davi (W.-K., H.-L., hi εἷς ὀβ.). Fuit aliquando Ι (i. e. obolus) ΠΡΟϹΤ.: hinc nata prava lectio ι' (δέκα) προστίθενται (app.) 1 ⟨οἱ⟩ ἐννέα (Gennad.) H.-L. 4 ⟨τῷ⟩ πρυτ. H.-L. 5 ὅταν recte W.-K., K.[3] 7 ⟨λαμβάνουσι⟩· λαμβ. K. rell.; cf. ad p. 91, 1. Sed v. Wil. I, 195. 10 κατὰ ⟨τὸν⟩ πόλ. Papageorg., coll. p. 69, 5. 71, 14. 95, 21. 12 ΤΑΔЄΤΑ, sed corr. ut vid. πληροῦσιν Dareste.
13 ⟨ὁ⟩ τῶν Papageorg. ut p. 94, 12; H.-L. θεσμ. τοὺς τῆς coll. eodem l., θ. ἐκ τῆς Photiad. 14 sq. δικ.] κληρωτήρια ci. S.
16 τῇ φ. ἑκάστῃ W.-K., H.-L. 17 κιβ. δέκα οἷς K., al.; εἰς ἃ pro οἷς Papageorg., Bl.[2], W.-K[3]. Sed multo plus decem fuerunt; praestatque etiam ob spatium numerum omittere, cf. XXXI, 35; Photiad. Ἀθ. XIV, 277 sq. 19 -ΡΙΑ. 20. ΟΥϹΟΙΠЄΡ.

βαλάνοις τῶν στοιχείων ἀπὸ τοῦ ἑνδεκάτου τοῦ λ, ὅσαπερ ἂν μέλλῃ [τ]ὰ δικαστήρια πληρωθήσεσθαι.
3 δικάζειν δ' ἔξεστι τοῖς ὑπὲρ λ' ἔτη γεγονόσιν, ὅσοι αὐτῶν [μ]ὴ ὀφείλουσι τῷ δημοσίῳ ἢ ἄτιμοί εἰσιν. ἐὰν δέ τις δικάζῃ οἷς μὴ ἔξεστι, ἐνδείκνυται καὶ [εἰς] τὸ δικαστήριον εἰσάγεται, ἂν δ' ἁλῷ, προστιμῶσιν αὐτῷ οἱ δικασταί, ὅ τι ἂν δοκῇ ἄξιος εἶναι παθε[ῖν] ἢ ἀποτεῖσαι. ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεῖ αὐτὸν δεδέσ[θαι], ἕως ἂν ἐκτείσῃ τό τε πρότερον ὄφλημ[α ἐ]φ' ᾧ ἐνεδείχθη, καὶ ὅ τι ἂν αὐτῷ προστιμήσῃ τ[ὸ δικ]αστήριον.
4 ἔχει δ' ἕκαστος ⟨ὁ⟩ δικαστὴς [ἓν] πινάκιον πύξινον, ἐπιγεγραμμένον τὸ ὄνομα τὸ ἑαυτοῦ πατρόθεν καὶ τοῦ δήμου, καὶ γράμ[μα] ἓν τῶν στοιχείων μέχρι τοῦ κ· νενέμηνται γὰρ κατὰ φυλὰς δέκα μέρη οἱ δικασταί, παραπλ[ησ]ίως ἴσοι ἐν ἑκάστῳ τῷ γράμ[μα]τι.

5 ἐπειδὰν δὲ ὁ θεσμοθέτης ἐπικληρώσῃ τὰ γράμματα, ἃ δεῖ ⟦προσ⟧παρατίθεσθαι τοῖς δικαστηρίοις, ἐπέθηκε φέρων ὁ ὑπηρέτης ἐφ' ἕκαστ[ον τὸ δικα]στήριον τὸ γράμμα τὸ λαχόν.

---

TESTIM. 11 Hesych. *χαλκοῦν πινάκιον.* schol. Iuntin. ad Ar. Plut. 277 (p. 340 a 21).

---

1 finitur nunc versus in *βαλάνοις*, ultima litt. parum integra; potest additum fuisse ἓν; *γράμματα* add. Papageorg. Tum legitur Τ(ΩΝ)CΤΟΙΧЄΙ$^{Ω}$[Α]ΠΟ (confirmat K.[3]). *ἑνδεκάτου τοῦ τριακοστοῦ* pr., corr. del. *τοῦ τριακ.* et superscr. ΤΟΥΛ, tum pro v. l. addidit ΤΡΙΑΚΟCΤΟΥ. Etiam *τοῦ ἑνδεκάτου* del. (Rutherf.). H.-L. cf. app. 2 ΟCΑΠЄΡЄΑΝ. 3 -CΤΙΝ (it. 5). *ὅσοι*] ΙCΟΙ pr. ut vid. 4 -CΙΝ. 5 *οἷς*] *ᾧ* (Richards) H.-L. 6 rest. W.-K. (K.[3]). ЄΑΝ. 11 *ὁ* addidi. addidi ἓν (antea *καὶ* proposui), cum inter CΤΗC et ΠΙΝ vel plus spatii sit quam inter ΟΦΛΗΜ et ΦΩΙ v. proximi. 12 *τό τ' αὐτοῦ* H.-L. (e coni.); ⟨*καὶ*⟩ *πατρ.* Papageorg. ex schol. Ar. (id. ci. *τῶν δήμων* coll. 38, 15. 86, 14). 18 *προσπαρατίθ.* Bl.[2]; confirmant K.[3], Wn. (W.-K.[3]); sed v. app. 19 addidi *τὸ*, sive fuit in chart. sive non fuit.